# AKROPOLIS WORLD NEWS

**www.akwn.net**

J. Coderch

**Seventh Year**

**(September 2008 - June 2009)**

## Number Two of Khmers Rouges is not freed / Terrorist attack in American Embassy in Iemen / Where is North Korea's president?

(20-09-08)

**Τὸν δεύτερον τῶν Ἐρύθρων Χμέρων ἄρχοντα οὐκ ἐλευθεροῦσιν**

Ὁ Νούων Ξέα, ἤδη ὀγδοήκοντα καὶ τρία ἔτη γεγονώς, τὸ πέρυσιν κατελήφθη καὶ εἰς δεσμωτήριον προσεβλήθη, τῶν γὰρ Ἐρύθρων Χμέρων τέτταρα ἔτη ἐν ἀρχῇ ὄντων δύο ἑκατομμυρία ἀνθρώπων ἐν τῇ Καμβοδίᾳ ἀπέθανον, οὗτος δὲ ὁ ἄνθρωπος τότε ὁ δεύτερος ἄρχων ἦν· οἱ Ἔρυθροι Χμέρες οὐ μόνον δικτατωρείαν κατέθεσαν, ἀλλὰ καὶ νέαν ἀνθρωπινὴν κοινωνίαν καταστῆναι ἐπείρωντο ἐν ᾗ ἔδει πάντες οἱ ἄνθρωποι γεωργοὶ γίγνεσθαι, πολλοὶ δὲ πολῖται πρὸς τοὺς ἀγροὺς βίᾳ προσηνέχθησαν. τῶν Χμέρων τὴν ἀρχὴν καταλιπόντων, ὁ Νούων Ξέα ἐλευθερὸς ἐν τῇ Καμβοδίᾳ αὐτῇ ἔμενεν, τὸ δὲ πέρυσιν κατελήφθη. νῦν δὲ ἐλευθεροῦσθαι ᾔτησεν, οἱ δὲ δικασταὶ ταύτην τὴν αἴτησιν ἤρνηνται.

**Τρομοκρατικὴ ἐπιβολὴ παρὰ τῇ Ἀμερικανῇ πρεσβείᾳ ἐν τῷ Ἰέμην**

Ἑκκαίδεκα ἄνθρωποι ἀπέθανον ἐν τῷ Ἰέμην τρομοκρατικῇ ἐπιβολῇ παρὰ τῇ Ἀμερικανῇ πρεσβείᾳ ἐν Σανάᾳ, πολλοὶ δὲ ἄλλοι ἐτρώθησαν· ἓξ μὲν τῶν τεθνηκότων οἱ τρομοκρατισταὶ αὐτοί εἰσιν, ἄλλοι δὲ ἓξ φύλακές εἰσιν, τέτταρες δὲ ἰδιῶται εἰσὶν οἳ ἐτύγχανον ἐκεῖ παρόντες. οἱ δὲ τρομοκρατισταὶ δυοῖν βόμβαις ἐχρήσαντο, ἄλλη μὲν βόμβα ἐν αὐτοκινητῷ ἦν, ἄλλην δὲ τρομοκρατιστής τις περὶ ἑαυτοῦ ζώνῃ εἶχεν. καὶ εἰ οὐδεὶς ἀκριβῶς οἶδεν, λέγεται ὅτι ἡ τρομοκρατικὴ ἑταιρεία῍Αλ Καῗδα τοῦτον τὸν φόνον εφύτευσεν. μετὰ δὲ τὴν ἐπιβολὴν παρῄνεσαν οἱ Ἀμερικανοὶ ἄρχοντες τοῖς Ἀμερικανοῖς πολίταις εἴτε ἐν τῷ Ἰέμην μὴ μένειν εἴτε, εἰ ἀνάγκη ἐστὶν ἐν τῇ χώρᾳ μένειν, μάλιστα προφυλάττεσθαι.

**Ἆρα ποῦ ἐστιν ὁ τῆς Βορεαίας Κωρέας ἄρχων;**

Ἐν τῇ Βορεαίᾳ Κωρέᾳ τὴν ἐτήσιαν ἑορτην ἐποιήσαντο ἐν ᾗ πάντες οἱ ἄρχοντες παρῆσαν πλὴν ὁ πρόεδρος Κῖμ Ἰώγγ, λέγεται δὲ ὅτι νοσεῖ, οἱ δὲ ἄλλοι τῆς χώρας ἄρχοντες οὐ φασὶ (ὡς εἰκός ἐστιν) τὸν πρόεδρον νοσεῖν. ὁ τούτου τοῦ ἀνθρώπου βίος ἀπόρρητόν ἐστιν, οὐδεὶς γὰρ

οἶδε ὅπου καὶ ὁπότε ἐγένετο, ὁπόσοι παῖδες αὐτῷ εἰσιν, κτλ. οὗτος δὲ ὁ ἄνθρωπος τὴν ἀρχὴν ἐκ τοῦ πατρὸς δεξάμενος τὴν δικτατωρείαν ὑπὸ τοῦ πατρὸς καταθεῖσαν ἔτι περιστέλλει.

## Israel buys 35 war planes / Czar of Russia, rehabilitated / Jaruzelski under trial

(04-10-08)

### Τὸ Ἰσραῆλ τριάκοντα καὶ πέντε πολεμικὰ ἀεροσκάφη ὠνεῖται

Τὸ Πενταγώνον τριάκοντα καὶ πέντε πολεμικὰ ἀεροσκάφη τῷ Ἰσραῆλ ἐπώλησεν· μετὰ δὲ ταύτην τὴν πρᾶσιν εἶπε ὁ τοῦ Πενταγώνου φερέφωνος ὅτι δέοι τῷ Ἰσραῆλ βοηθεῖν τοῖς Ἄραψι μαχομένῳ. δεῖ δὲ νῦν τὴν Ἀμερικανὴν Βουλὴν τοιαύτην τὴν πρᾶσιν ἐᾶν, ἐν γὰρ ταῖς ΗΑΠ οὐκ ἔξεστι ὅπλα ἄλλαις χώραις πωλεῖν. εἴτε σύμμαχοις οὖσιν εἴτε οὔκ, τῆς Βουλῆς μὴ ἐώσης· ὅμως δὲ εἶπον οἱ βουλευταὶ ὅτι τούτῳ ἐξουσίαν αὐτίκα δώσοιεν· ἄλλαι χώραι μέμφουσιν τὴν τῶν ΗΑΠ βοηθείαν τὴν τῷ Ἰσραῆλ.

### Οἱ τῆς Ῥωσσίας ἀρχιδικασταὶ τὸν Ζᾶρ εἰς τὴν αὐτὴν δόξαν ἐπανάγει

Ὁ τῆς Ῥωσσίας Ζᾶρ καὶ οἱ περὶ αὐτοῦ ἐν τῷ Ἐκατεριμβούργῳ ὑπὸ τῶν νεωτεριστῶν ἀπέθανον, τὰ δὲ σώματα ἐκρύφθησαν, νῦν δὲ ἐν τῷ Ἀγίῳ Πετερσβούργῳ κεῖνται, ηὑρέθησαν γὰρ ἤδη νῦν τὸ δέκατον ἔτος (καίπερ πολλῶν ἔτι διαβεβαιούντων ὅτι ταῦτα τὰ σώματα οὐ τὰ τοῦ Ζᾶρ καὶ τῶν περὶ αὐτοῦ εἰσίν). καὶ δὴ καὶ οἱ ἀρχιδικασταὶ αὐτόν τε καὶ τοὺς περὶ αὐτοῦ εἰς τὴν αὐτὴν δόξαν ἐπανήγαγον προχθές, ὁμολογοῦσιν γὰρ νῦν ὅτι ὁ μὲν Ζᾶρ ἀρχικοῦ φόνου ἕνεκα παρὰ τοὺς νόμους ἀπέθανεν, πάντες δὲ οἱ συγγενεῖς ὡσαυτῶς ἀπέθανον. ἆρα πάντες ἐκεῖ ἀπέθανον; μένει ἔτι νῦν ὁ περὶ τῆς Ἀναστασίας μύθος.

### Ὁ Ἰαρουζέλσκι ἐν τῷ δικαστερίῳ δίκην ὑπέχει

Ὁ πάλαι πρόεδρος τῆς Πολονίας, ὁ στρατηγὸς Ἰαρουζέλσκι, νῦν ἐν τῷ δικαστερίῳ δίκην ὑπέχει ἅτε στρατιωτικοὺς νόμους ἐπὶ τῶν πολιτῶν ἐπιθεὶς τῆς χώρας τότε ἄρχων. τῶν μὲν πολιτῶν τοὺς κοινονιστοὺς ἄρχοντας ἐν τῆς ἀρχῆς ἐκβαλεῖν πειρωμένων, ὅ τε Ἰαρουζέλσκι καὶ ἄλλοι συνάρχοντες τούς τε νόμους ἔλυσαν καὶ νέαν πολιτείαν καταθέμενοι ἐνίους

πολίτας ἀπέκτειναν, ἄλλους δὲ εἰς τὸ δεσμωτήριον εἰσέβαλον· νῦν δὲ ὁ Ἰ., ἤδη ὀγδοήκοντα καὶ τέτταρα ἔτη γεγονώς, πρόφασιν λέγει ὅτι, εἰ αὐτὸς τῇ Πολονίᾳ τὴν ἡσυχίαν τότε μὴ ἤγαγεν, ἡ Ῥωσσία εἰς τὴν Πολονίαν εἰσέβαλεν ἄν.

## Italian police to use Ferraris and Lamborghinis / McCain: “I am not Bush” / Six thousand Christians leave Mosul

(18-10-08)

**Οἱ τῆς Ἰταλίας φύλακες Φερράροις τε καὶ Λαμβοργίνοις χρήσονται**

Οἱ τῆς Ἰταλίας φύλακες ἀξιωτάτοις αὐτοκινήτοις χρήσονται, Φερράροις τε καὶ Λαμβοργίνοις, ὅμως δὲ πάντες οἱ ταύτης τῆς χώρας πολῖται θαυμάζουσιν ὅποθεν τοιαῦτα αὐτοκίνητα δέχονται οἱ φύλακες, ἥδε δὲ ἡ ἀπόκρισίς ἐστιν· ἡ μὲν Καμόρρα, ἡ ἔνδοξος ἑταιρεία φονέων τε καὶ χρήματα ἀδίκως εἰσπραττόντων, πολλὰ τοιούτων αὐτοκινήτων εἶχεν, νῦν δέ, πολλῶν τούτων τῶν ἀνθρώπων καθειρχθέντων, ταῦτα τὰ αὐτοκίνητα οἱ φύλακες δέξονται. πλεῖστοι δὲ τῶν κατειρχθέντων ἐγγὺς τῆς Νεαπόλεως οἴκουν, οἱ δὲ φύλακες ἐκεῖ οὐ μόνον τὰ αὐτοκίνητα ἐδήμευσαν ἀλλὰ καὶ τιμίους ἵππους τε καὶ χρήματα.

**ΜκΚαῖν· "ἔγωγε οὔκ εἰμι ὁ Βοῦιξ"**

Ὅ τε Ὀβάμα καὶ ὁ ΜκΚαῖν αὖθις δημοσίᾳ διελέξαντο (ἴσως δεῖ ἡμᾶς "ἅμιλλαν ἐποιήσαντο" λέγειν;), πειρῶντες οὐ μόνον τοὺς πολίτας περὶ τῆς ψήφου πείθειν ἀλλὰ καὶ ἀλλήλους ἀτιμάζειν. ὁ μὲν Ὀβάμα μάλιστα τὸν ΜκΚαῖν τῷ Βοῦιξ συνάπτειν ἐπεῖρα, ὁ δὲ ΜκΚαῖν τοῦτο ἐξέφευγεν, τοσούτως δὲ τοῦτο ἐκφεύγειν ἐπείρασεν ὥστε "ἔγωγε οὔκ εἰμι ὁ Βοῦιξ" εἶπεν. πρῶτον μὲν οἱ δύο ἄνθρωποι περὶ τῆς τῶν ΗΑΠ οἰκονομίας διελέγοντο, τέλος δὲ ὁ Ὀβάμα κατὰ τοιόνδε τρόπον τὸν ΜκΚαῖν τῷ Βοῦιξ συνάπτειν ἐπεῖρα ὥστε οὗτος τούτους τοὺς λόγους εἶπεν. περὶ δὲ τῶν δασμῶν καὶ μάλιστα διελέχθη.

**῞Εξ χίλιοι Χριστιάνων τὴν Μόσουλ καταλείπουσιν**

Ἕξ χίλιοι Χριστιάνων τὴν Μόσουλ καταλελοίπασιν ἅτε τῶν Ἰσλαμιστῶν ἀπειλούντων τε καὶ ἀποκτεινόντων. λέγουσι δὲ οἱ φυγόντες ὅτι οἱ Ἰσλαμισταὶ αὐτοὺς ἠπείλησαν εἴτε Ἰσλαμιστὰς γενέσθαι εἴτε ἀποθανεῖν. ἡ μὲν Μόσουλ πόλις ἐστὶν ἐν ᾗ τὸ Ἀλ Καΐδα ἔτι καὶ νῦν μεγάλην ῥόπην ἔχει, πολλάκις δὲ τρομοκρατικὰς ἐπιβολὰς ἐκεῖ πράττεται· τέτταρες καὶ δέκα Χριστιάνοι ἀπέθανον ὑπὸ τῶν Ἰσλαμιστῶν ταύτῃ τῇ ἑβδομάδι ἐν ταύτῃ τῇ πόλει· πολλοὶ δὲ τούτων τῶν Ἰσλαμιστῶν τρομοκρατῶν Σουνίτες εἰσίν.

## Brad Pitt, after being Achilles, will now become Odysseus / Chinese Hu Jia wins Sakharov prize / Stephen Hawking to leave professorship at university

(25-10-08)

**Ὁ Βρὰδ Πίττ, ἤδη Ἀχιλλεὺς γενόμενος, νῦν Ὀδυσσεὺς γενήσεται**

Τὸν περὶ τῆς Τροίας πόλεμον εἰς τὴν κινηματογραφικὴν τέχνην ἐνεγκών, ὁ Βρὰδ Πίττ πάλιν εἰς τὴν Ἑλλάδα ἐπανελεύσεται ἵνα ἡμῖν δείξηται τί ἔπασχεν ὁ Ὀδυσσεὺς ἀπὸ τῆς Τροίας πρὸς τὴν Ἑλλάδα πορευόμενος· ὁ τοῦ κινηματογραφκοῦ ἔργου ἄρχων ἔσται ὁ Γεωργὸς Μίλληρ· ὅμως δὲ ἐργάζεται νῦν ὁ Β. Πίττ ἄλλοις κινηματογραφικοῖς ἔργοις ἐν τῇ Γερμανίᾳ περὶ τοῦ Δευτέρου Παγκοσμίου Πολέμου, δεῖ οὖν μένειν μέχρι ταῦτα τὰ ἔργα τελευτᾷ. περὶ δὲ τοῦ Β. Πίττ ἐν τῷ προτέρῳ ἔργῳ ὡς Ἀχιλλέως εἶπον πολλοὶ θεαταὶ ὅτι μικρότερός ἐστιν ὁ Β. Πίττ ἢ ὥστε τῷ Ἀχιλλεῖ ὁμοιοῦσθαι, ἴσως τῷ πολυμηχάνῳ Ὀδυσσεῖ ὁμοιότερος γενήσεται;

**Ὁ Σινικὸς Οὖ Χιὰ το Σαχάροβ ἆθλον φέρεται**

Ὁ Οὖ Χιὰ ἐν τῷ δεσμωτηρίῳ κεῖται, ὑπὲρ γὰρ τῆς τε παρρησίας καὶ τῆς ἐλευθερίας ἅμιλλαν τοῖς ἐν τῇ Σίνῃ ἄρχουσιν ἀεὶ ἔχει, διὰ δὲ ταῦτα τὸ Σαχάροβ ἆθλον ἐνήνεγται· τοῦτο τὸ ἆθλον ἡ Εὐρωπαία Βουλὴ νέμει ᾧτινι περὶ τῆς τε ἐλευθερίας καὶ τῆς δικαιοσύνης ἀγωνίζεται καὶ διὰ ταῦτα ἄδικα πάσχει. τοῦτο μὲν τὸ βούλευμα τῇ Σινικῇ ἀρχῇ οὐκ ἀρέσκει, διὰ δὲ τοῦτο οἱ ἐν τῷ Βεῖχιν ἄρχοντες ἐπιστολὴν πεπόμφασι τῇ Εὐροπαικῇ Βουλῇ ἐν ᾗ ἀγγέλλει ὅτι νῦν δεήσει τὰς συνθήκας πάλιν ἐξετάζειν. ὁ μὲν Χιὰ τὸ ἧπαρ νοσεῖ, ἡ δὲ τῆς Σίνης ἀρχὴ οὐκ ἐᾷ αὐτὸν τὴν θεραπείαν δέχεσθαι.

**Ὁ Στέφανος Αὔκιγγ τὴν τοῦ πανεπιστημίου καθέδραν καταλείψει**

Ὁ ἔνδοξος Στέφανος Αὔκιγγ, ἤδη ἑξήκοντα καὶ ἓξ ἔτη γεγονώς, Λουκάσιαν Διδάσκαλος ἐν τῷ τῆς Καμβρίδγης Πανεπιστημίῳ ἐστίν· ταύτην δὴ τὴν καθέδραν καὶ ὁ Ἰσαᾶκ Νεύτων τὸ πρότερον εἶχεν· νῦν δὲ δεῖ αὐτὸν τὴν καθέδραν καταλείπειν, οἱ γὰρ τοῦ πανεπιστημίου νόμοι τοῦτο οὕτως κελεύουσιν· ὅμως δὲ τὸ πανεπιστήμιον οὐ παντελῶς καταλείψει, ἔτι γὰρ συμπράξει περὶ πολλῶν τοῖς ἄλλοις ἐκεῖ διδασκάλοις. ὁ Στέφανος Αὔκιγγ δεινοτάτην νόσον πάσχει ἣ αὐτὸν οὐ μόνον βαδίζειν τε καὶ κινεῖσθαι κωλύει ἀλλὰ καὶ διαλέγεσθαι. οὗτος ὁ εὐφυέστατος ἀνὴρ ἔνδοξότατος ἐγένετο βίβλον τινὰ ἐκδὼς ἐν ᾗ περὶ τῶν μελάνων τρημάτων ἐξηγεῖτο.

## The other Rosetta stones / Two neonazis wanted to kill Obama / Tempelhof closes down

(01-11-08)

**Οἱ ἄλλοι Ῥωσέτται λίθοι**

Πάντες οἱ σοφοὶ περὶ τοῦ Ῥωσέττης λίθου ἴσασιν, οὗτος γὰρ ὁ λίθος τῷ Σιαμπολλιόνι δυνατὸν ἐποίησε τοὺς ἱερογλυφικοὺς ἑρμηνεύειν, τοὺς αὐτοὺς λόγους ἔχων Ἑλληνιστί τε καὶ τῇ Δημοτικῇ καὶ τῇ τῶν ἱερογλυφικῶν γλώττῃ γεγραμμένους· ὅμως δὲ δύω ἄλλοι ἄγνωτοι λίθοι εἰσὶν οἳ καὶ λόγους ταύταις ταῖς τρισὶ γλώτταις γρεγραμμένους ἔχουσιν, καίπερ οὐδενὸς σοφοῦ περὶ αὐτῶν οὐδὲν λεγόντος. ὁ μὲν ἔνδοξος Ῥωσέττα λίθος ἐν τῷ Λονδίνῳ κεῖται, οἱ δὲ ἄλλοι ἄγνωτοι δύο ἐν τῷ τοῦ Καίρου Μουσείῳ. νῦν δὲ βούλονται οἱ τούτου τοῦ Μουσείου ἄρχοντες τήν τε δόξαν καὶ τὴν εὐδοξίαν τὴν τούτων τῶν δυοῖν λίθων αὐξάνειν, λέγουσι γὰρ ὅτι δεῖ αὐτοὺς ἐκ τῆς τε λήθης καὶ τῆς ἀμνημοσύνης πάλιν ἐκκαλεῖν.

**Τὸν Ὀβάμα ἀποκτείνειν ἐν νῷ δύο νεονάζεις νεανίαι εἶχον**

Δύο Ἀμερικανοὶ νεανίαι τὸν Ὀβάμα ἀποκείνειν ἐν νῷ εἶχον, οὐ μόνον δὲ τὸν εἰς ἀρχὴν παραγγέλλοντα ἀλλὰ καὶ ἑκατὸν παῖδας Αἰθίοπας· οἱ μὲν δύο νεονάζεις νεανίαι, ἄλλος μὲν

εἴκοσι ἔτη, ἄλλος δὲ ὀκτωκαίδεκα ἔτη γεγονότες, ἐν τῇ δήμῳ Τέννεσσι ὑπὸ τῶν φυλάκων κατελέφθησαν. λέγουσι δὲ οἱ φύλακες ὅτι οὗτοι οἱ φονεῖς τέτταρας μὲν καὶ δέκα τῶν ἑκατὸν παίδων κεφαλοτομεῖν ἐβούλοντο, τοὺς δὲ ἄλλους ὀγδοήκοντα καὶ ὀκτὼ ἄλλως πως ἀποκτείνειν, ὅ τε γὰρ ἀριθμὸς τέτταρες καὶ δέκα καὶ ὁ ἀριθμὸς ὀγδοήκοντα καὶ ὀκτὼ σύμβολόν εἰσι τοῖς νεονάζεσιν.

**Ὁ Τέμπελχοφ ἀερολιμὴν τελευτᾷ**

Ὁ Τέμπελχοφ ἀερολιμὴν ἐν τῷ Βερλίνι ἐτελεύτησε χθὲς ἤδη ὀγδοήκοντα ἔτη γεγονώς· οὗτος ὁ ἀερολιμὴν ἔνδοξον σύμβολόν ἐστιν, μετὰ γὰρ τὸν Δευτέρον Παγκόσμιον Πόλεμον τὰ Ἀμερικανὰ ἀεροσκάφη ἐνθάδε ἀφικνοῦντο, τῶν Σοβιετικῶν (πειρωμένων τοὺς συμμάχους ἐκ τῆς πόλεως ἐξελαύνειν καὶ οὕτως πᾶσαν τὴν πόλιν κατέχειν) τάς τε ὁδοὺς καὶ τὰς σιδηροδρόμους τειχισάντων καὶ τὴν πόλιν πολιορκοῦντες. νῦν μὲν οὗτος ὁ ἀερολιμὴν μικρότατός ἐστιν ἢ ὥστε τὰ νῦν ἀεροσκάφη ἐκεῖ προσγειώνεσθαι δύνασθαι, πάντα δὲ τὰ ἀεροσκάφη ἃ τὸ πρότερον εἰς τὸν Τέμπελχοφ ἀφικνοῦντο εἰς τὸν Βρανδεμβοῦργ ἀερολιμένα νῦν πετήσονται.

## Mines of King Solomon found / Michael Crichton dies / Obama becomes President of USA

(07-11-08)

**Τὰ τοῦ βασιλέως Σαλομῶντος μέταλλα εὑρίσκουσιν**

Λέγεται ἐν Τοῖς Βιβλίοις ὅτι ὁ Σολομών, βασιλεὺς γενομένος, τοὺς Ἰουδαίους ἐπλούτισεν, λέγουσι δὲ ὅτι τοῦτο ποιεῖν ἐδύνατο χρυσείων μετάλλων τότε εὑρηθέντων. νῦν δὲ οἱ ἀρχαιολόγοι ταῦτα τὰ μετάλλα ηὑρήκασιν, ὅμως δὲ οὐ μὲν χρύσεια ἦν, χαλκεία δέ· ταῦτα τὰ μέταλλα ἐν τῇ Ἰωρδανίᾳ κεῖται, νῦν δὲ χαλκὸν οὐκέτι ἔξεστιν ἐκεῖ εὑρεῖν, ἔξεστι δὲ ἰδεῖν ἔξεστι τὰ τῶν τε οἰκιῶν καὶ τῶν ἐργαστηρίων λείψανα. χρὴ καὶ λέγειν ὅτι ἡ βιβλικὴ ἀρχαιολογία ἠκμάζεν ἐν τῷ χρόνῳ μεταξὺ τοῦ Πρώτου καὶ τοῦ Δευτέρου Παγκοσμίου Πολέμου, οἱ γὰρ ἀρχαιολόγοι τότε τὴν ἄμην ἐν τῇ ἀριστερᾷ καὶ Τὰ Βιβλία ἐν τῇ δεξιᾷ εἶχον.

**Ὁ Μιχαὴλ Κρίχτων ἀποθνῄσκει**

Ὁ Μιχαὴλ Κρίχτων ἀπέθανεν πολὺν χρόνον νοσήσας. οὗτος ὁ συγγραφεύς, ἐν ταῖς ΗΑΠ γεγονώς, πρῶτον μὲν τὴν ἰατρικὴν τέχνην ἐν τῷ πανεπιστημίῳ ἔμαθεν, ἔπειτα δὲ συγγραφεὺς ἐγένετο. ὅμως δέ, ἅτε ἰατρός τε γενομένος καὶ πολλὰ περὶ τῆς βιολογίας εἰδώς, ἀεὶ εἰσετίθει εἰς τὰς ἑαυτοῦ βίβλους ἐπιστημονικά τε καὶ τεχνικὰ μαθήματα· ἐνδοξότατος δὲ ἐγένετο τὴν βίβλον "Ἰουράσικον Παράδεισον" γράψας, ἐν δὲ ταύτῃ τῇ βίβλῳ πολλά ἐστιν τὰ βιολογικά, πολὺ πλεῖον ἢ ἐν τῷ κινηματογραφικῷ ἔργῳ. ὁ Κρίχτων πεντάκις ἔγημεν, λέγει δὲ ἡ γυνὴ αὐτοῦ ὅτι, καίπερ νοσοῦντος, ὁ θάνατος ἐξαίφνης ἀφίκετο.

**Ὁ Ὀβάμα Πρόεδρος τῶν ΗΑΠ γίγνεται**

Ὁ Βάρακ Ὀβάμα, ἐν ταῖς ἀρχαιρεσίαις νικήσας, Πρόεδρος τῶν ΗΑΠ γέγονεν. ἔδει μὲν αὐτὸν τὸ ἥμισυ τῶν βουλευτῶν κτᾶσθαι ἵνα πρόεδρος γένοιτο, πολλῷ δὲ πλεῖον ἢ τὸ ἥμισυ κέκτηται. τί δὲ ποιήσει νῦν ὁ Ὀβάμα; πολλοὶ μὲν πολῖται ἐλπίζουσι τὸν νέον πρόεδρον πάντα ἄλλως πράξειν, τοῦτο γὰρ ὑπισχνούμενος τὴν ψῆφον τοὺς πολίτας ᾔτει, τὸ δὲ αὐτὸ ἐλπίζουσι καὶ πολλοὶ ξένοι, ἄλλοι δὲ λέγουσιν ὅτι ἴσως μὲν τινὰ ἄλλως πράξει, τὰ δὲ πλεῖστα ὡς ὁ πρότερος πρόεδρος ποιήσει. νῦν δὲ δεῖ αὐτὸν τοὺς ὑπουργοὺς αἱρεῖσθαι οἳ τῆς χώρας συνάρξονται.

## European economy goes backwards / Will Guantanamo prisoners go to Europe? / Human mistake in Russian submarine acident

(15-11-08)

**Ἡ τῆς Εὐρώπης οἰκονομία ὀπίσω χωρεῖ**

Ὅτι ἡ τῆς Εὐρώπης οἰκονομία οὐκ ἀκμάζει οὐδεὶς οὐκ οἶδεν, πάντες γὰρ οἱ τῆς οἰκουμένης ἄνθρωποι περὶ ταὐτοῦ διαλέγονται· νῦν δὲ οὐ μόνον οὐκ ἀκμάζει ἀλλὰ καὶ ὀπίσω χωρεῖ, ἐλαττοῦται δή, καὶ ἐν ταῖς χώραις οὗ τῷ Εὔρῳ ὡς νομίσματι χρῶνται καὶ οὗ οὐ χρῶνται· ἥ τε Ἰταλία καὶ ἡ Γερμανία ἤδη ἐν ταύτῃ τῇ μιαρᾷ καταστάσει κεῖνται, ἡ δὲ Ἱσπανία δι᾽ ὀλίγου

ἐκεῖ αὐταῖς προσχωρήσει. τί δεῖ ποιεῖν; ἐν ταῖς ΗΑΠ συμβήσονται δι᾽ ὀλίγου οἱ ἄρχοντες οἱ τῶν κρατίστων χωρῶν ἵνα περὶ τούτου συμβουλεύωνταί τε καὶ διαγιγνώσκωσιν. ὅμως δὲ ἡ κρίσις αὐτὴ μέγιστον πρόβλημά οὔκ ἐστιν, τόδε γὰρ μέγιστον πρόβλημά ἐστιν· πόσον χρόνον αὕτη ἡ κρίσις διαμενεῖ;

**Ἆρα ἐλεύσονται οἱ ἐν τῷ Γουαντανάμῳ αἰχμαλώτοι πρὸς τὴν Εὐρώπην;**

Μετὰ τὰς ἐπὶ τὰς ΗΑΠ προσβολὰς προσήνεγκον οἱ ἐν τῷ Οὐασίγγτῳ ἄρχοντες πολλοὺς Ταλιβάνους αἰχμαλώτους εἰς τὸ τοῦ Γουαντανάμου δεσμωτήριον (τὸ Γουαντάναμον ἐν τῇ Κούβῃ κεῖται), ἐκεῖ δὲ κεῖνται ἤδη μακρὸν χρόνον, ἀλλὰ οὗτοι οἱ αἰχμαλῶτοι οὐκέτι ἐδικάσθησαν, διὰ δὲ τοῦτο πολλοὶ πολῖται αἰτοῦσιν τὴν τῶν ΗΑΠ ἀρχὴν τοὺς ἐν τούτῳ τῷ δεσμωτηρίῳ κειμένους αἰχμαλώτους ἐλευθέρους λῦσαι. ὅμως δὲ πολλοὶ τούτων τῶν αἰχμαλώτων οὐ βούλονται εἰς τὰς ἑαυτῶν χώρας ἐπανελθεῖν, διὰ δὲ τοῦτο ἔνιοι τῶν Εὐρωπαίων ἀρχόντων συμβουλεύουσι τοὺς αἰχμαλώτους διὰ ἐνίων χωρῶν διανενεμημένους δέχεσθαι.

**Ἀνθρωπινὸν ἁμάρτημα ἐν τῇ Ῥουσσικοῦ ὑποβρυχίου συμφορᾷ**

Εἴκοσι ἄνθρωποι ἀπέθανον διὰ συμφοράν τινα ἐν Ῥουσσικῷ Ἀκούλᾳ ὑποβρυχίῳ ἐγγὺς τῆς Ἰαπωνίας πλέοντι, νῦν δὲ τὴν αἰτίαν ηὑρήκασιν· ναύτης τις, ἁμάρτημα ποιησάμενος, νοσώδες πνεῦμα ἐξῆκεν. τὸ μὲν ὑποβρύχιον νεώτατον ὂν τοῖς ναυάρχοις πειρᾶσθαι ἔδοξεν, πάντα δὲ ἐπὶ χρόνον ὀρθῶς ἔκειτο πρὸ τῆς συμφορᾶς· τῶν δὲ εἴκοσιν ἀποθανόντων ὀκτωκαίδεκα οὐ ναύται ἦσαν, πολῖται δὲ οἳ ἐν τῇ τοῦ ὑποβρυχίου κατασκευῇ εἰργασμένοι ἦσαν· ἄλλοι δὲ εἴκοσι ἐτρώθησαν. ἤδη ὄγδοον ἔτος ἐν ἄλλῳ τινὶ Ῥουσσικῷ ὑποβρυχίῳ Κοῦρσκ ὀνομαστὶ πάντες οἱ ἐπιβάται ἀπέθανον συμφορᾶς γενομένης.

## Crisis hits Belgian king / Russian parliament wants extension of presidential term / Zimbabwe health service in state of collapse

(22-11-08)

**Ἡ κρίσις τὸν τῆς Βελγικῆς βασιλέα λυπεῖ**

Ὁ Ἀλβέρτος Δεύτερος τὸν ἑαυτοῦ μισθὸν αὐξάνειν ἐβούλετο, ὅμως δὲ τῇ τῆς Βελγίης βουλῇ ἔδοξε τὸν τοῦ βασιλέως μισθὸν κατέχειν· καὶ δὴ καὶ οὐ μόνον τὸν μισθὸν αὐτοῦ οὐν αὐξήσουσιν ἀλλὰ καὶ ἀναγκάσουσιν αὐτόν τε καὶ τοὺς οἰκείους αὐτοῦ φόρου ὑποτελεῖς γίγνεσθαι. ἐπὶ μὲν τὸ πολὺ οἱ φλέμισοι καὶ οἱ βαλόνοι περὶ οὐδενὸς ὁμολογοῦσιν, νῦν δὲ περὶ τόδε, τί δεῖ τῷ βασιλεῖ ταύτην τὴν αὔξησιν αἰτοῦντι ἀποκρίνεσθαι, ὡμολόγησαν (τούτοις τοῖς δυοῖν ἔθνεσι μόνα κοινὰ ὁ ἐκ κριθῶν οἶνος καὶ τὸ ποδόσφαιρον καὶ ὁ βασιλεὺς μένουσιν). ἄρτι δέ, τῆς βουλῆς περὶ τούτου συμβουλευούσης, πολῖται τινὲς τὸ τοῦ βασιλέως ἄγαλμα ἐν τῇ πόλει Ὀστένδῃ ἀνατεθὲν ἐμίηναν, λέγοντες ὅτι δεῖ αὐτὸν τὰ τῶν πολιτῶν χρήματα μηκέτι ἀποδαπανᾶν.

**Ἡ τῆς Ῥωσσίας βουλὴ τὸν πρόεδρον πολυχρόνιον γενέσθαι βούλεται**

Ἐν τῇ Ῥωσσίᾳ ἔξεστι τῷ προέδρῳ κατὰ τοὺς νῦν νόμους τέτταρα ἔτη ἐν τῇ ἀρχῇ μένειν, νῦν δὲ βούλονται οἱ ταύτης τῆς χώρας βουλευταὶ (ἡ Δοῦμα) τοῦτον τὸν ἀρχικὸν χρόνον αὐξάνειν· κατὰ μὲν τὸν νέον νόμον ἄρχοι ἂν ὁ νέος πρόεδρος διὰ ἓξ ἐτῶν, ἐὰν δὲ τούτῳ τῷ νόμῳ ψηφίσωνται ἔξεσται τῷ Βλαδιμίρῳ Ποῦτιν πάλιν τὴν ἀρχὴν δέχεσθαι· λέγουσι δὲ πολλοὶ ὅτι τοῦτο αὐτὸ ἐν νῷ ἔχοντες βούλονται οἱ βουλευταὶ τούτῳ τῷ νέῳ νόμῳ ψηφίζεσθαι, ὁ γὰρ Ποῦτιν δημοτικὸς τοῖς πολίταις ἐγένετο. ἴσως δὲ βούλονται οἱ τῆς Ῥωσσίας πολῖται τὸν Ψυχρὸν Πόλεμον αὖθις μάχεσθαι;

**Οἱ τοῦ Ζιμβαούῃ ἰατροὶ ὀρθῶς ἐργάζεσθαι οὐ δύνανται**

Τὰ τοῦ Ζιμβαούης νοσοκομεῖα, βέλτιστα πάλαι γενομένα, νῦν νόσους ἀνθρώπους εἰσδέχεσθαι οὐ δύνανται, οἱ δὲ ἰατροὶ τοὺς νοσοῦντας οἴκαδε ἀποπέμπουσιν, οὐκ ἐξὸν αὐτοῖς τοὺς νοσοῦντας θεραπεύειν φάρμακά τε καὶ τὰ ἄλλα ἐπιτήδεια οὐκ ἔχουσιν. τὸ δὲ πρόβλημα οὐ μόνον τοῦτό ἐστιν, ἀλλὰ καὶ νῦν ἐπιδήμιος νόσος (χολέρα) διὰ τῆς πόλεως Ἁράρης διασπείρεται, λέγουσι δὲ οἱ ἰατροὶ ὅτι πολλοὶ ἀποθανοῦνται. τοῦ Ῥοβέρτου Μουγάβης προέδρου γενομένου, ἡ τῆς χώρας οἰκονομία καταδύει τε καὶ διαφθείρεται, πολλοὶ δὲ πολῖται οἷς ἐξῆν ἀποφυγεῖν τὴν χώραν ἤδη καταλελοίπασιν.

## Terrorists attack Mumbai / Bangkok citizens seize airports

(29-11-08)

**Οἱ τρομοκτάται τῇ πόλει Μουμβαὶ ἐπιτίθενται**

Ἐν τῇ πόλει Μουμβαὶ οἵ τε τρομοκράται καὶ οἱ φύλακες τρεῖς ἡμέρας μεμάχηνται· ἡ μὲν μάχη ἐν τρίσι ξενοδοχείοις καὶ ἐνὶ ἱερῷ ἐγένετο, διακόσιοι δὲ ἄνθρωποι ἀπέθανον καὶ τριακόσιοι ἐτρώθησαν. τὰ δὲ γενόμενα οὕτως ἐγένετο· πρῶτον μὲν οἱ τρομοκράται τῇ Ἰουδαικῇ συναγωγῇ ἐπιβαλόντες τοὺς ἐκεῖ ὄντας ὁμήρους κατέλαβον· οἱ δὲ φύλακες αὐτοὺς ἔλυσαν, ἀλλὰ πέντε ὅμηροι ἀπέθανον· ἔπειτα δὲ ἄλλοι τρομοκράται τὸ ξενοδοχεῖον Ὀβεροὶ καταλαβόντες πολλοὺς ξένους ἐκεῖ οἰκοῦντας ὁμήρους κατέλαβον, τὸ δὲ αὐτὸ πάλιν ἐγένετο· καίπερ τῶν φυλάκων τοὺς ξένους λυσάντων, πολλοὶ ὑπὸ τῶν τρομοκρατῶν ἀπέθανον· τέλος δὲ ἄλλο τι ξενοδοχεῖον ἄλλοι τρομοκράται κατέλαβον, τὸ Τᾶχ Μαχᾶλ, αὖθις δὲ οἱ μὲν φύλακες τοὺς ὁμήρους λύουσιν, πολλοὶ δὲ τῶν ἐν τῷ ξενοδοχείῳ ὄντων ὑπὸ τῶν τρομοκρατῶν ἀποθνῄσκουσιν.

Ἆρα τίνες ἦσαν οἱ τρομοκράται; τὴν ἀπόκρισιν οὐκέτι οὐδεὶς ἀκριβῶς οἶδεν. οἱ μὲν τῆς Ἰνδίας ἄρχοντες διαβεβαιοῦνται ὅτι οἱ τρομοκράται ἐκ τοῦ Πακιστᾶν ἥκουσιν, οἱ δὲ τοῦ Πακιστᾶν ἄρχοντες τοῦτο ἀπόφασιν.

**Οἱ τοῦ Βαγκῶκ πολῖται τοὺς ἀερολιμένας καταλαμβάνουσιν**

Οἱ τῆς πρωτευούσης πόλεως πολῖται πρῶτον μὲν ἕνα τῶν δυοῖν ἀερολιμένων ἐν τῇ πόλει Βαγκῶκ ὄντων κατέλαβον, πρὸς τοὺς τῆς χώρας ἄρχοντας ἐνίστασθαι βουλόμενοι, τὰ δὲ ἀεροσκάφη πέτεσθαι ἐκώλυσαν· ἔπειτα δὲ καὶ τὸν δεύτερον ἀερολιμένα κατέλαβον. ἡ τῆς χώρας ἀρχή, τοὺς δύο ἀερολιμένας λῦσαι πειρῶσα, στρατιώτας ἔπεμψεν, ὅμως δὲ οἱ τοὺς ἀερολιμένας κατέχοντες αὐτοὺς ἔτραπον. νῦν δὲ οἱ φύλακες ἔξω τῶν ἀερολιμένων μένουσιν, κωλύουσί γε ἄλλους πολίτας τοῖς ἤδη ἔνδον οὖσι συνίστασθαι. ὁ μὲν πρόεδρος, Οὐονσαουᾶτ ὀνομαστί, τὴν ἀρχὴν καταλιπεῖν οὐ βούλεται (πῶς γὰρ οὔ;), οἱ τοὺς ἀερολιμένας κατέχοντες τὸ χώριον καταλιπεῖν ἐν νῷ οὐκ ἔχουσι (ἀκριβῶς ᾔδησθα, ὦ τᾶν)· νῦν δὲ πολλοὶ τουρισταὶ τὴν χώραν καταλιπεῖν βουλόμενοι οὐ δύνανται, δεῖ δὲ αὐτοὺς πρὸς ἄλλους ἀερολιμένας ἐλθεῖν καὶ ἐκεῖθεν ἐκπέτεσθαι πειρᾶν.

## The house of dispute is emptied / Alexis II dies / Russian warship crosses Panama Canal

(06-12-08)

**Τὴν τῆς ἔριδος οἰκίαν ἐκκενοῦσιν**

Ἐν τῷ Ἑβρῶνι ἐξεκένωσαν βίᾳ οἱ φύλακες οἰκίαν τινὰ ἣν οἱ Ἰσραελίνοι ἔποικοι κατεῖχον· ὅπλα ἔχοντες, οἱ φύλακες διακοσίους καὶ πέντε ἐποίκους ἔλαβον καὶ ἐκ ταύτης τῆς οἰκίας ἐξέβαλον. αὕτη δὲ ἡ οἰκία σύμβολον ἐγένετο τῶν Ἰσραελίνων οἵ, ἐν τῇ Κισιορδανίᾳ ἤδη ἐκ τοῦ πάλαι οἰκοῦντες, ταύτην τὴν χώραν καταλιπεῖν οὐκ ἐθέλουσιν, καίπερ τῆς ἀρχῆς τοῦτο κελευούσης. τοὺς μὲν φύλακας εἰς τὴν οἰκίαν εἰσβαίνοντας οἱ ἔποικοι λίθοις ἔβαλλον, οἱ δὲ τοὺς ἐποίκους ἀντιπροσέβαλλον, τέλος δὲ εἴκοσι ἄνθρωποι ἐτρώθησαν. ἀλλὰ τίς ἡ αἰτία; οἱ μὲν ἔποικοι διαβεβαιοῦνται ὅτι τὴν οἰκίαν ὠνήσαντο ἀπὸ Παλαιστίνου ἀνθρώπου, ὁ δὲ λέγει νῦν ὅτι τὴν οἰκίαν οὐδέποτε ἐπώλησεν. νῦν δὲ οἱ φύλακες τὴν οἰκία καθέξουσιν ἕως οἱ δικασταὶ διακρίνωσιν ἂν τίς κατὰ τοὺς νόμους ὁ κεκτημένος ἐστίν.

**Ὁ Ἀλέξις Δεύτερος ἀποθνῄσκει**

Ὁ Ἀλέξις Δεύτερος, ἀρχιερεὺς τῶν Ῥωσσικῶν ὀρθοδόξων Χριρτιανῶν, ἀπέθανεν. ἑβδομήκοντα καὶ ἐννέα ἔτη γεγονώς, ἤδη πολὺν χρόνον χαλεπῶς ἐνόσει. ὁ Ἀλέξις ἀρχιερεύς ἐγένετο τῆς ΕΣΚΔ (Ἑνώσεως Σοβιετικῶν Κοινωνιστικῶν Δημοκρατιῶν) ἔτι οὔσης, νῦν δὲ δεῖ τοὺς ὀρθοδόξους ἄλλον ἀρχιερέα ἑλέσθαι. λέγεται ὅτι διάδοχος ὁ Κίριλος γενήσεται (νῦν ὁ Κίριλος ἱερεὺς τοῦ τε Σμολένσκου καὶ τοῦ Καλινιγγράδου ἐστίν). ὁ Ἀλέξις καὶ ὁ καθολικὸς ἀρχιερεὺς Ἰωάννης Παύλος Δεύτερος οὔπωτε φίλοι ἀλληλοῖς ἐγένοντο, ἐκεῖνος γὰρ τοῦτον ἀεὶ ᾐτιᾶτο πειρᾶν τὸ καθολισμὸν εἰς τὴν Ῥωσσίαν εἰστιθέναι.

**Πάλιν Ῥωσσικὴ πολεμικὴ ναῦς διὰ τῆς τοῦ Παναμὰ διώρυχος πλεῖ**

Ἡ πολεμικὴ ναῦς (ἴσως δεῖ "τριήρης" λέγειν;) "Ναύαρχος Σιαβανένκω" ὀνομαστὶ διὰ τῆς τοῦ Παναμὰ διώρυχος ἔπλευσεν. ἀλλὰ διὰ τί τοῦτο ἀξιόλογον ἐστίν; διότι τῶν προτέρων

ἑξήκοντα ἐτῶν οὐδεμία Ῥωσσικὴ πολεμικὴ ναῦς διὰ ταύτης τῆς διώρυχος ἔπλευσεν. τότε δέ, τοῦ Δευτέρου Παγκοσμίου Πολέμου ἤδη ἀρξαμένου, τέτταρα Σοβιετικὰ ὑποβρύχια διὰ τῆς διώρυχος ἔπλευσαν.

## Chemical weapons of WWII in China / British Prime Minister makes MPs laugh / Barak Obama offers help to Israel

(13-12-08)

### Χημικὰ ὅπλα τοῦ Δευτέρου Παγκοσμίου Πολέμου εὑρίσκουσιν

Τοῦ Δευτέρου Παγκοσμίου Πολέμου οἱ Ἰαπονικοὶ στρατιῶται πολλὰ χημικὰ ὅπλα ἐν τῇ Σίνῃ κατέλιπον, ἄλλοθί τε καὶ ἐν τῇ τῆς χώρας ἄρκτῳ, νῦν δὲ αὐτὰ εὑρόντες ἄμφω ἐξορύττειν βούλονται, λέγουσι γὰρ ὅτι τοῦτο κίνδυνός ἐστι τοῖς ἐνοικοῦσιν (θαυμάζω ὅτι οὕτω σοφώτατοί εἰσιν...). οὐδεὶς μὲν ἀκριβῶς οἶδε ὁπόσα χημικὰ ὅπλα ἐν τῇ Σίνῃ οἱ Ἰαπονικοὶ κατέλιπον, ὅμως δὲ κατὰ τὸν τοῦ Βειχίνος φερέφωνον δύο ἑκατομμυρία ἐν τῇ χώρᾳ κεῖται. καίπερ ἐνίοτε συμπράττουσαι, οἷον τὸ νῦν, αὗται αἱ δύο χῶραι ἔτι καὶ νῦν διαστάσεις ἔχουσι περὶ πολλῶν, ἄλλως τε καὶ περὶ τῆς Ἀνατολικῆς Σινικῆς Θαλάττης.

### Ὁ Βρεταννικὸς Προθυπουργὸς γέλωτα παρέχει τοῖς βουλευταῖς

Ὁ Γόρδων Βραῦν, Βρεταννικὸς Προθυπουργός, ἐν τῇ Βουλῇ εἶπεν ὅτι ἡ Βρτεταννικὴ ἀρχὴ ἐνία οἰκονομικὰ βουλεύματα ποιήσασα τὴν οἰκουμένην ἐκ τῆς οἰκονομικῆς κρίσεως σώσειεν, πάντες δὲ οἱ βουλευταὶ εὐθὺς μάλιστα ἐγελασαν. ἀλλὰ ἀληθῶς ὁ Προθυπουργὸς τοῦτο εἰπεῖν ἐν νῷ εἶχεν; οὐδαμῶς, ἐβούλετο γὰρ εἰπεῖν ὅτι τὰς Βρεταννικὰς τραπέζας σώσειεν. ἔπειτα δέ, πάντων τῶν Βουλευτῶν ἤδη τοῦ γέλωτος παυσαμένων, ὁ Καμέρων εἶπεν ὅτι ὁ Βραῦν τοσοῦτον ἐν νῷ ἔχοι τὴν οἰκουμένην σῴζειν ὥστε περὶ τῆς ἑαυτοῦ χώρας ἀμνημονοίη.

### Ὁ Βᾶρακ Ὀβάμα τῷ Ἰσραῆλ βοήθειαν προτείνει

Ὁ νεωστὶ Πρόεδρος γενομένος Βᾶρακ Ὀβάμα τῇ τοῦ Ἰσραῆλ ἀρχῇ βοήθειαν προὔτεινεν, ἀκριβῶς δὲ σύστημα ὃ κωλύσειεν ἂν τὰ Ἰράνια ἀτομικὰ πύραυλα εἰς τὸ Ἰσραῆλ ἀφίκεσθαι, ὡς "ἀτομικὴ ἀσπίς", ἐὰν τὸ Ἰρᾶν, τὸ Ἰσραῆλ ἐξορίζειν ἀεὶ ἀπειλοῦν, ἀτομικὰ πύραυλα ἐφῇ. λέγουσιν οἱ ἔμπειροι ὅτι τῷ Ἰρᾶν οὐκέτι μὲν ἀτομικὰ ὅπλα ἐστίν, δυοῖν δὲ ἐτῶν ἔσται. τοῦτο δὲ λέγων, ὁ Ὀβάμα τοὺς τοῦ Ἰσραῆλ ἄρχοντας πραΰνειν πειρᾶται, ἔλεγον γὰρ οὗτοι ὅτι ὁ νέος Ἀμερικανὸς πρόεδρος τῷ Ἰρᾶν διαλέγεσθαι καὶ συνθήκην ποιεῖν βούλοιτο.

## Barak Obama becomes President / Ancient Persians used chemical weapons / Ban ki Moon visits Gaza

(20-01-09)

### Ὁ Βᾶρακ Ὀβάμα Πρόεδρος γεγένηται

Τήμερον ὁ Βᾶρακ Ὀβάμα Πρόεδρος τῶν ΗΑΠ γεγένηται· ἐν ταῖς ἀρχαιρεσίαις νικήσας, ὁ Ὀβάμα ἐν τῇ πόλει Οὐασιγγτόνι τοὺς ὅρκους κατὰ τοὺς νόμους ἔδωκε πρὸ μυρίων πολιτῶν οἳ ἐκεῖσε συνέβησαν ἵνα τὸν νέον πρόεδρον ἴδοιεν· τοὺς δὲ ὅρκους δούς, ὁ νέος πρόεδρος δημηγορίαν ἐποιήσατο ἐν ᾗ πολλὰ εἶπεν περὶ τοῦ τῆς χώρας μέλλοντος χρόνου, ὅπως τοῖς Ἰσλαμισταῖς πράξοι, κτλ. ἆρα τί ἀληθῶς ποιήσει ὁ Β. Ὀβάμα νῦν; τῆς μὲν γὰρ οἰκονομίας τῆς τῶν ΗΑΠ οὐκέτι ἀκμαζούσης δεῖ αὐτὸν νέα βουλεύματα τοῖς πολιταῖς προτιθέναι, ἀλλά, καίπερ πολλῶν αὐτὸν πάντα μεταβάλλειν ἐλπιζόντων, ἴσως οὐ τοσαῦτα μεταβαλεῖται οἷα πολλοὶ ἐπιθυμοῦσιν.

### Οἱ  πάλαιοι Πέρσαι χημικοῖς ὅπλοις ἐχρήσαντο

Ὁ Σιμὼν Ἰάκοβος, διδάσκαλος ἐν τῷ τοῦ Λειζέστηρος (ἐν τῇ Ἀγγλίᾳ) πανεπιστημίου ὤν, ἐν τῇ Συρίᾳ πολλὰ ἔτη ὀρύξας εἴκοσι νέκρους Ῥωμαίων στρατιωτῶν ηὕρηκεν οἳ οὐ βέλεσιν ἢ ξίφεσιν ἀπέθανον ἀλλὰ φαρμακώδες πνεῦμα εἰσπνεύσαντες. ἆρα τί ἦν τοῦτο τὸ πνεῦμα; λέγει ὁ διδάσκαλος ὅτι, ἅτε τῶν Σασανίδων τὴν πόλιν Δοῦρα-Εὐρωπόδον πολιορκούντων, οἱ Ῥωμαῖοι ἐκ τῆς πόλεως ἐξελθεῖν πειρῶντες ὑπογεῖον μὲν ὄρυγμα ὑπὸ τὰ τείχη ἐποιήσαντο, ὅμως δὲ τοὺς πολιορκοῦντας οὐκ ἔλαθον τοῦτο ποιοῦντες, οἱ δὲ θεῖον πρήσαντες εἰς τὸ ὑπογεῖον ὄρυγμα εἰσέβαλον. ἴσως ἐγένετο τοῦτο τὸ πρῶτον χημικὸν ὅπλον τῆς ἱστορίας;

**Ὁ Βάν κι Μοῦν τὴν Γάζην ἐπισκοπεῖ**

Ὁ τοῦ ΗΕΟ πρόεδρος Βάν κι Μοῦν τὴν Γάζην τήμερον ἀπεσκόπησεν· τῶν τε Ἰσραηλίνων εἰς ταύτην τὴν χώραν εἰσβαλόντων ἅτε τὸ Ἁμᾶς ἀσθενοῦν ἐν νῷ ἐχόντων, πολλοὶ μὲν Παλαιστίνοι ἀπέθανον, πολλοὶ δὲ ἄλλοι ἐτρώθησαν, πολλὰ δὲ οἰκήματα καθῃρέθη, ὕδωρ τε καὶ ἠλεκτρικὴν δύναμιν οὐκ ἔχουσιν οἱ ἐκεῖ οἰκοῦντες, κτλ. εἶπεν δὲ ὁ Μοῦν ὅτι οὕτως ἡ χώρα καθῄρηται ὥστε αὐτὸς οὐκ οἷός τ' εἴη τὸ θέαμα λόγῳ διαγράφειν· ὅμως δὲ εἶπεν καὶ ὅτι οὐ δέοι τὸ Ἁμᾶς νομιμὸν γενέσθαι.

## Woman delivers 8 children / Hamas offers truce for one year / John Updike dies

(27-01-09)

**Γυνὴ ἐν τῇ Καλιφορνίᾳ ὀκτὼ παῖδας τίκτει**

Γυνή τις ἓξ υἱοὺς καὶ δύο θυγατέρας ἔτεκεν ἐν τῇ Καλιφορνίᾳ, ὅμως δὲ οἱ παῖδες οὐ κατὰ τὴν φύσιν ἐγένοντο, ἐδέησε γὰρ τὴν τῆς μητρὸς γαστέρα τέμνειν ἵνα οἱ παῖδες ἐξελθεῖν δύναιντο· λέγουσι δὲ οἱ ἰατροὶ ὅτι οἱ μὲν ὀκτὼ παῖδες, καίπερ μικρότατοι ὄντες, ὑγιαίνουσιν, ἴσως δὲ πάντες ζήσουσιν· καὶ ἡ μήτηρ ὑγιαίνει· πάλαι δὲ ἐν τῷ Τέξας καὶ ἄλλη γυνὴ ὀκτὼ παῖδας ἔτεκεν, ὅμως δὲ τότε μία τῶν παιδῶν ἀπέθανεν.

**Τὸ Ἁμᾶς ἐνιαυσίας κατὰ ἔτος προτίθησιν**

Τὸ Ἁμᾶς ἐνιαυσίας σπονδὰς ποιεῖσθαι τοῖς Ἰσραηλίνοις προτίθησιν· τοῦτο δὲ οὐ κάτευθυ τοῖς Ἰσραηλίνοις εἶπον, οὐ γὰρ ἀλληλοῖς διαλέγονται, ἀλλὰ τῷ τῆς Αἰγύπτου προέδρῳ φερεφώνῳ χρώμενοι. ἆρα δέχονται οἱ Ἰσραηλίνοι τὸ προκείμενον; τὸ Ἁμᾶς ἐπιτάττει τῷ Ἰσραῆλ πάντα τε τὰ ὅρια ἀνοιγνύναι καὶ ἐκ τῆς Γάζης εὐθὺς ἀναχωρεῖν· λέγουσι δὲ νῦν οἱ τοῦ Ἰσραῆλ φερέφωνοι ὅτι τοῦτό ἐστι ὅπερ ἐν νῷ εἶχον· κατὰ τὸ εἰκός, τοῦ πολέμου μόνον οὐ τελευτήσαντος, πάντες προσποιοῦνται ὡς νικήσαντες.

**Ὁ συγγραφεὺς Ἰωάννης Οὐπδίκης ἀποθνῄσκει**

Ὁ Ἀμερικανὸς συγγραφεὺς Ἰωάννης Οὐπδίκης ἐν τῷ Μασσασιούσσεζ ἀπέθανεν, μάλα γὰρ καὶ ἤδη πάλαι ἐνόσει· οὗτος ὁ ἔνδοξος συγγραφεύς, ἓξ καὶ ἑβδομήκοντα ἔτη γεγονώς, πολλὰ ἆθλα ἐνήνεκτο, καὶ τὸ Πούλιζερ ἆθλον δὶς αὐτῷ ἐπεδίκασαν. τῶν βίβλων τῶν τούτου τοῦ συγγραφέως ἐνδοξότατος ἐγένετο ἡ "Αἱ τοῦ Ἔαστουικ φαρμακίδες" καλουμένη· ἔπειτα δὲ αὕτη ἡ βίβλος καὶ ἔνδοξον κινηματογραφικὸν ἔργον ἐγένετο.

## Snow paralyses London / Reprimand to Phelps / Another flying shoe against a politician

(04-02-09)

### Ἡ χιὼν τό τε Λονδίνον παύει

Ἐν τῷ Λονδίνῳ τοσοῦτον ἔνειψεν ὥστε ἡ χιὼν τοσαύτην μεγίστην πόλιν ἔπαυσεν, ἡ γὰρ πόλις παντελῶς χιονώδης ἐγένετο· οἱ μὲν πολῖται τοῖς τε ὑπογείοις σιδηροδρόμοις καὶ τοῖς λεωφορείοις χρῆσθαι οὐκ ἐδύναντο· αὕτη ἡ χιὼν ἐκ τῆς Ῥωσσίας ἥκει καὶ οὐ μόνον ταύτην τὴν πόλιν ἔβλαψεν ἀλλὰ καὶ πᾶσαν τὴν Ἀγγλίαν, πολλὰ δὲ διδασκαλεῖα κεκλεισμένα εἰσίν (οἱ παῖδες, πῶς γὰρ οὔκ, μάλιστα τῇ νιφάδι χαίρουσι καὶ χιονώδεσι σφαίραις μάχας ποιοῦνται)· καὶ δὴ καὶ οἱ τοῦ Λονδίνου ἀερολιμένες κεκλεισμένοι εἰσίν, πολλὰ δὲ ἀεροσκάφη πέτεσθαι μέλλοντα ἐν τοῖς ἀερολιμέσιν αὐτοῖς μένουσιν. ἡ δὲ ἀρχὴ τοὺς πολίτας ᾔτησεν οἴκοι μένειν καὶ οὐκ ἐκβαίνειν.

### Ἐπιτίμησις τῷ Φέλψ

Βρεταννικόν τι δημοσιογραφεῖον φωτογραφίαν ἔδειξεν ἐν ᾗ ἐξῆν τὸν ἔνδοξον Ἀμερικανὸν νήκτην Μιχαὴλ Φέλψ ἰδεῖν φάρμακόν τι κακὸν καπνίζοντα· οὗτος μὲν ὁ νήκτης ὀκτὼ χρύσεια ἆθλα ἐν τοῖς τοῦ Βειγίγγος Ὀλυμπίοις ἠνέγκατο, πολλοὶ δὲ νεανίαι παραδείγματι χρῶνται αὐτῷ ἔνδοξοι γενέσθαι βουλόμενοι καὶ αὐτοί, διὰ δὲ ταῦτα δεῖ αὐτὸν τήν τε ἑαυτοῦ δίαιταν καὶ δημοσίαν δόξαν φυλάττεσθαι· ἔπειτα δὲ ὁ νήκτης αὐτός, κακῶς ἀκούσας, περὶ τούτου συγγνώμην παρὰ τῶν νεανιῶν ᾐτήσατο, ὑπέσχετο δὲ τοῦτο αὖθις μὴ ποιήσειν.

**Ἄλλο πτηνὸν ὑπόδημα ἐπὶ πολιτικόν τινα πέτεται**

Ἐν τῷ τῆς Καμβρίδγης πανεπιστημίῳ αὖθις τὸ αὐτὸ ἐγένετο καὶ ἐν τῷ Ἰρᾶκ· ἐπὶ πολιτικόν τινα ἀγορεύοντα ἔβαλέ τις ὑπόδημα· τότε μὲν ἐπὶ τὸ ᾿Αμερικανὸν πρόεδρον Βοῦιξ, νῦν δὲ ἐπὶ τὸν τῆς Σίνης πρωθυπουργὸν τοῖς τοῦ πανεπιστημίου μαθηταῖς ἀγορεύοντα· ὅμως δὲ ὁ μαθητὴς τὸν πρωθυπουργὸν οὐκ ἔβλαψεν, τὸ γὰρ ὑπόδημα πόρρω ἔπεσεν· ἔπειτα δὲ οἱ φύλακες τὸν μαθητὴν ἔλαβον. καὶ δὴ καὶ ἐν τῷ Λονδίνῳ πολλοὶ πολῖται πρὸ τῆς Σινικῆς πρεσβείας διεδηλώσαντο τῇ Σινικῇ ἀρχῇ ἐνιστάμενοι.

## Hamas and Al Fatah speak again in Egypt / New Prime Minister in Zimbawe / Geert Wilders banned from UK

(12-02-09)

**Τὸ ῾Αμᾶς καὶ τὸ ̃Αλ Φατᾶ αὖθις ἐν τῇ Αἰγύπτῳ διαλέγονται**

Αἱ Παλαιστίναι ἑταιρεῖαι ῾Αμᾶς καὶ ̃Αλ Φατᾶ τὸ πέρυσιν ἀλλήλαις ὀργισθεῖσαι πολὺν χρόνον οὐδαμῶς συνεπράττοντο, νῦν δὲ αὖθις ἀλληλαῖς διαλέγονται· ἆρα διὰ τί; τίς δὲ ἡ αἰτία; αὕτη δὲ ἐστὶ ἡ αἰτία· οἱ μὲν Παλαιστίνοι βούλονται τὴν εἴσοδον τὴν διὰ τοῦ ῾Ραφᾶ ἐκ τῆς Παλαιστίνης εἰς τὴν Αἴγυπτον φέρουσαν αὖθις ἀνοῖξαι, αὐτοῖς δὲ τοῦτο αἰτοῦσιν ἡ τῆς Αἰγύπτου ἀρχὴ ἠμείψατο ὅτι τοῦτο ποιήσοι ἐφ᾽ ᾧτε αἱ δύο ἑταιρεῖαι αὖθις ἀλλήλαις διαλέγοιντο καὶ ἐν τῇ τῆς Παλαιστίνης ἀρχῇ συμπράττοιεν καὶ τῆς χώρας συνάρχοιεν. λέγουσι δὲ ἔνιοι ξένοι ἐπίσκοποι ὅτι ὁ τῆς Αἰγύπτου πρόεδρος, ὁ Ὅσνι Μουβάρακ, τοῦτο ποιεῖ τὸ ῾Αμᾶς ἀσθενοῦν πειρώμενος, τὸ γὰρ ῾Αμᾶς ἐν τῇ Γάζῃ μεγάλην ῥοπὴν ἔχει.

**Νέος Πρωθυπουργὸς ἐν τῷ Ζιμβαούῃ**

Ὡς πάντες ἴσασιν, ἐν τῷ Ζιμβαούῃ ἤδη πάλαι ὁ πρόεδρος Μουγάβης τὴν ἀρχὴν κατέχει καί, ὡς εἰκός, ἐξ αὐτῆς ἐξελθεῖν ἐν νῷ οὐκ ἔχει· ὅμως δὲ οἱ αὐτῷ ἐπανιστάμενοι ἠνάγκασαν τὸν Μουγάβην νέον πρωθυπουργὸν δέχεσθαι, τὸν Μόργαν Ζβαγγίραι, τὸ πρότερον ἐπὶ τὸν Μουγάβην μαχεσάμενον. ἐν δὲ ταύτῃ τῇ χώρᾳ οὐ μόνον πολιτικὰ προβλήματα κεῖται, ἀλλὰ καὶ ἐπιδήμιος νόσος (ἡ χολέρα) ἤδη μυρίους τῶν ἐκεῖ οἰκούντων ἀποκτείνασα.

**Τὸν Ὁλλανδικὸν Γήερτ Βίλδερς εἰς τὴν Ἀγγλίαν εἰσελθεῖν οὐκ ἐῶσιν**

Ὁ κινηματογραφικὸς τεχνίτης Γήερτ Βίλδερς εἰς τὴν Ἀγγλίαν εἰσελθεῖν βουλόμενος ἐν τῷ τοῦ Λονδίνου ἀερολιμένι κατελήφθη, τῇ γὰρ Βρεταννικῇ ἀρχῇ ἔδοξεν αὐτὸν εἰς τὴν χώραν εἰσελθεῖν μὴ ἐᾶν· ὁ μὲν γὰρ Βίλδερς κινηματογραφικὸν ἔργον ἐποίησεν, μόνον πεντεκαίδεκα λέπτα διαμένον, ἐν ᾧ τῷ Ἰσλᾶμ ψόγους τε καὶ μέμψεις ἐπιφέρει (τὸ ὄνομα τῷ ἔργῳ "Φῖτνά" ἐστιν), κατὰ δὲ τὴν Βρεταννικὴν ἀρχὴν ὁ Βίλδερς τὴν πρὸς τοὺς Ἰσλαμιστὰς ἔχθραν τρέφει τε καὶ κινεῖ καὶ διὰ τοῦτο αὐτὸν ἔτι ἐν τῇ Ὁλανδίᾳ ὄντα ἐκέλευσε μὴ εἰς τὴν Ἀγγλίαν πέτεσθαι. ὅμως δὲ ὁ Βίλδερς, τὸ ἔργον ἐν τῷ Λονδίνῳ ἐπιδεῖξαι βουλόμενος, ἐπειράσατο.

## North Korea threatens South Korea again / Judges free possible assassins of Politkovskaya / Barak Obama travels as President for the first time

(21-02-09)

**Ἡ Βορεαία Κωρέα πάλιν τῇ Μεσημβρινῇ Κωρέᾳ τὸν πόλεμον ἀπειλεῖ**

Χθὲς τῆς νυκτὸς ἡ Ἵλλαρι Κλίντων εἰς τὸ Σεοῦλ ἀφίκετο, οἱ μὲν γὰρ τῆς Βορεαία Κωρέας ἄρχοντες νεὸν ἀτομικὸν πύραυλον πειρᾶν ἐν νῷ ἔχουσιν, ἡ δὲ Κλίντων τοῦτο κωλύειν βούλεται, οὐδὲ μόνον τοῦτο ἀλλὰ καὶ πεῖσαι τοὺς τῆς Β. Κ. ἄρχοντας πάντα τὰ ἀτομικὰ ὅπλα διαφθείρειν· τούτων οὕτως ἐχόντων, οἱ τῆς Β. Κ. ἄρχοντες εἶπον ὅτι τὴν συναλλαγὴν τὴν τῇ Μ. Κ. συγγεγραμμένην λύσονται ἐὰν αὕτη ἡ χώρα ἔτι τακτικὰς μετὰ τῶν Ἀμερικανῶν στρατιωτῶν ποιοῦντες οὐ παύωνται, οἱ γὰρ τῆς Μ. Κ. στρατιῶται καὶ οἱ Ἀμερικανοὶ στρατιῶται μόνιμοι ἐν τῇ Μ. Κ. ὄντες κατ᾽ ἐνιαυτὸν τακτικὰς ἅμα ποιοῦνται, τοῦτο δὲ τοὺς Β. Κωρεανοὺς ἐνοχλεῖ.

**Οἱ δικασταὶ τοὺς τὴν Πολιτκοβσκαίαν ἴσως ἀποκτείναντας ἐλευθεροῦσιν**

Ἆρα ὑπὸ τίνος ἀπέθανεν ἡ Ἄννα Πολιτκοβσκαία, δημοσιογραφὶς ἀεὶ τοὺς τῆς Ῥωσσίας ἄρχοντας ψέγουσα; τότε, ἐν ᾧ ἡ Α. Π. ἀπέθανεν, ἡ δημοσιογραφὶς βίβλον ἔγραφε τὴν τῆς

Ῥωσσίας ἀρχὴν μεμφομένη περὶ οὗ ἐν τῇ Σεσενίᾳ οὗτοι ποιοῦσιν, διὰ δὲ ταῦτα ὑποπτεύουσι πάντες ὅτι ἡ ἀρχὴ ἐκέλευσέ τινα ταύτην τὴν δημοσιογραφίδα ἀποκτεῖναι. νῦν δὲ τοὺς κατηγορουμένους οἱ δικασταὶ ἐλευθήρωσαν πρόφασιν λέγοντες ὅτι ἐλέγχους τῆς φονῆς οὐχ εὗρον. ἡ Α. Π., ἐν τῇ Νέᾳ Ἰόρκῃ γενομένη, ἔτι πρὶν ἢ ἀποθάνοι, ἤδη εἶπεν ὅτι ἀπειλὰς πολλάκις δέξαιτο.

**Ὁ Βᾶρακ Ὀβάμα τὸ πρῶτον ὡς Πρόεδρος πορεύεται**

Ὁ Β. Ο., νεωστὶ πρόεδρος τῶν ΗΑΠ ὑπὸ τῶν πολιτῶν καταστάς, εἰς τὴν Κανάδην ἀφίκετο χθές, τὸ πρῶτον τῷ τοῦ προέδρου ἀεροσκάφει χρώμενος. ὁ Β. Ο. τῷ τῆς Κανάδης πρωθυπουργῷ, τῷ Στεφάνῳ Ἅρπηρ, περὶ τῆς οἰκονομίας διαλέξεται καὶ τοῦ συμβολαίου, ἄλλως τε καὶ περὶ τῶν στρατιωτῶν οὓς ἡ Κανάδη ἐν τῷ Ἀφγανιστᾶν ἔχει, ὁ γὰρ Β. Ο. τοὺς συμμάχους ᾔτησε ἔτι πλείονας στρατιώτας ἐκεῖσε πέμψαι ἵνα τοὺς Ταλιβάνους νικῶσιν, τὸν γὰρ τοῦ Ἀφγανιστᾶν πόλεμον οὐκέτι ἐνίκησαν. ὅμως δὲ ὁ Β. Ο. μόνον ἓξ ὥρας ἐν τῇ Κανάδῃ μενεῖ.

## Obama to withdraw soldiers from Irak / Paradise for Europarlamentaries / Selfportrait of Leonardo da Vinci found

(28-02-09)

**Ὁ Ὀβάμα τοὺς στρατιώτους ἐκ τοῦ Ἰρᾶκ ἀπάξει**

Ὅτε ἐν ταῖς ἀρχαιρεσίαις νικῆσαι ἐν νῷ εἶχεν ὁ Ὀβάμα, ἀεὶ τοῖς πολῖταις εἶπεν, ὡς πλείστας ψήφους κτᾶσθαι πειρώμενος, ὅτι δέοι τοὺς Ἀμερικανοὺς στρατιώτας ἐκ τοῦ Ἰρᾶκ ἀπάγειν· νῦν δέ, ἤδη πρόεδρος τῶν ΗΑΠ γενομένος, τοῦτο ποιεῖν πειρᾷ, καὶ εἰ οὐ ῥᾳδίος γενήσεται, ἐν μὲν γὰρ τῷ Ἰρᾶκ ἔτι καὶ νῦν πολλοὶ ἀνθιστάμενοι πρὸς τὴν νέαν ἀρχὴν μάχονται, ὁ δὲ Ὀβάμα οὐ βούλεται τὴν χώραν καταλιπεῖν μὴ εἰς εἰρήνην καταστάς. ὅμως δὲ χθὲς τῷ τοῦ Ἰρᾶκ Προέδρῳ, Ἄλ Μαλίκι, διελέγετο (τῷ τηλεφώνῳ χρώμενος, ὁ γὰρ Ο. ἐν ταῖς ΗΑΠ ἦν) καὶ οἱ δύο πρόεδροι περὶ τοῦδε διελέγοντο, ὁπότε ἡ τῶν Ἀμερικανῶν ἀπαγωγὴ γενήσοιτο· διαβεβαιοῦται δὲ ὁ Α. Μ. ὅτι ἡ νέα τοῦ Ἰρᾶκ ἀρχὴ ἑτοίμη ἐστὶ ἵνα οἱ Ἰράκιοι αὐτοὶ τὴν τῆς χώρας φυλακὴν νέμωσιν.

**Παράδεισος τοῖς Εὐρωβουλευταῖς**

Οἱ Εὐρωβουλευταί, οἳ ἐν ταῖς Βρουσελαῖς ἢ ἐν τῷ Στρασβούργῳ "ἐργάζονται", οὐ μόνον μέγιστον μισθὸν δέχονται ἀλλὰ καὶ βούλονται νῦν κολυμβήθραν ἐν τῇ Βουλῇ ἔχειν. νεωστὶ μὲν τοῖς Εὐρωβουλευταῖς ἔδοξε τὸν ἑαυτῶν μέγιστον μισθὸν αὐξάνειν (περὶ δὲ τοῦτο οὐδὲν τοῖς πολιταῖς εἶπον), νῦν δὲ καὶ νεῖν βούλονται (ἆρα ἴσως νεύσαντες βελτίον ψηφίσονταί τε καὶ βουλεύσονται;)· ὅμως δὲ τὸ τῆς ἱστορίας βέλτιστον τοῦτο οὔκ ἐστιν, ἀλλὰ ἡ πρόφασις ἣν ὁ τῶν Εὐρωβουλευτῶν πρόεδρος τοῖς δημοσιογράφοις περὶ τοῦτο ἐρωτωμένοις εἶπεν, κατὰ γὰρ ὁ πρόεδρος οἱ Εὐρωβουλευταί, κολυμβήθραν ἐν τῇ Βουλῇ ἔχοντες, οὐκ τοσοῦτο ἐκ τῆς Βουλῆς ἀπέσονται καὶ πλείονα χρόνον ἐκεῖ μενοῦσιν ἐργαζόμενοι.

**Αὐτοεικόνα τοῦ Λεονάρδου δὰ Βίγκι εὑρίσκουσιν**

Ὁ Πέτρος Ἀγγέλη, Ἰταλιανὸς δημοσιογράφος, βίβλον τινὰ τῷ Λεονάρδῳ γεγραμμένην ἐν ταῖς χερσὶ εἶχε καὶ ἀνεγίγνωσκεν, ἐξαίφνης δὲ εἰκόνα ῥινὸς ἐπὶ τῇ δεκάτῃ σελίδι εἶδε καὶ ταύτην τὴν σελίδα εὐθὺς πρὸς τὸ ἐργαστήριον ἤνεγκε, ἐκεῖ δὲ οἱ ἔμπειροι, τὴν σελίδα νέαις τέχναις ἐξετάσαντες, εἶδον ὅτι οὐ μόνον ῥίνα ἰδεῖν ἔξεστιν ἀλλὰ καὶ πᾶν τὸ πρόσωπον· ὡς δοκεῖ, ὁ Λεονάρδος τῇ αὐτῇ σελίδι δὶς ἐχρήσατο· νῦν δὲ δεῖ τοὺς ἐμπείρους εἰπεῖν πότερον ὁ Λεονάρδος αὐτὸς τοῦτο τὸ πρόσωπον ἔγραψεν ἢ οὔκ.

## Emperors of Japan to visit Pearl Harbour / Big grave of WWII found / Marathon in the Sahara

(07-03-09)

**Οἱ τῆς Ἰαπωνίας βασιλεῖς τῷ τοῦ Μαργαρίτου Λιμένι προσίασιν**

Ἐξ οὗ ὁ Δευτέρος Παγκόσμιος Πόλεμος ἐτελεύτησεν, οὐδεὶς Ἰαπωνικὸς βασιλεὺς τῷ τοῦ Μαργαρίτου Λιμένι προσελήλυθεν· τῶν μὲν γὰρ Ἰαπωνικῶν τούτῳ τῷ λιμένι ἐν ταῖς Ἁουαῖ νήσοις κειμένῳ ἀπροσδοκέτως προσβαλόντων ἀεροσκάφεσι χρωμένων, ὁ ΔΠΠ ἤρξατο, νῦν δὲ οἱ τῆς Ἰαπωνίας βασιλεῖς, εἰς τὴν Κανάδην ἐλεύσεσθαι μέλλοντες, βούλονται τοῦτον τὸν

χῶρον ἰδεῖν οἴκαδε νοστοῦντες· λέγουσι δὲ οἱ δημοσιογράφοι ὅτι αὕτη ἡ ἐφοδεία διαλλαγὴν πρὸς ἀλλήλους δύναται, διὰ γὰρ ταύτην τὴν προσβολὴν δύο χίλιοι καὶ τετρακοσίοι Ἀμερικανοὶ στρατιῶται ἀπέθανον· ἔπειτα δὲ σπονδὰς ἐποιήσαντο ἐν τῇ νηὶ Μισσοῦρι, μόνῃ νηὶ ἐκ τῆς προσβολῆς περιούσῃ.

**Μεγάλην τοῦ Δευτέρου Παγκοσμίου Πολέμου τάφρον εὑρίσκουσιν**

Ἐν τῇ Σλοβενίᾳ μεγάλην τάφρον ηὑρήκασι πολλοὺς νέκρους ἔχουσαν. ἐν μὲν τῇ χώρᾳ τότε Ἰουγοσλαβίᾳ καλουμένῃ, τοῦ Δευτέρου Παγκοσμίου Πολέμου τελευτήσαντος, οἱ κοινωνισταὶ παρτισάνοι πολλοὺς πολῖτας ἀπέκτειναν καὶ τοὺς νέκρους εἰς ὑπόνομόν τινα εἰσήνεγκον καὶ ἐκεῖ κατέλιπον· μετὰ δὲ ταῦτα, πάντας τοὺς νέκρους ἤδη εἰσενεγκόντες τὸν ὑπόνομον ἔκλεισαν λίθοις τε καὶ τείχεσι χρώμενοι, ἐκεῖ δὲ οἱ νέκροι (λέγουσι ὅτι πλείονες ἢ χίλιοι) ἔκειντο πολλὰ ἔτη, νῦν δὲ ἐδέησε πολλὴν γῆν ἐκφέρειν πρὶν τοὺς νεκροὺς εὑρεῖν· λέγουσι δὲ οἱ ἱστοριογράφοι ὅτι πολλαὶ ἄλλαι τάφροι ταύτῃ ὅμοιαι ἐν τῇ προτεραίᾳ Ἰουγοσλαβίᾳ κεῖνται.

**Μαραθὼν ἐν τῇ Σαχάρα ἐρήμῳ**

Πεντακόσιοι δρομεῖς ἔδραμον ἐν τῇ Σαχάρα ἐρήμῳ μαραθῶνα, τετταράκοντα καὶ δύο χιλιομέτρα, τοῦ ἡλίου μάλιστα θαλπόντος· οἱ δὲ δρομεῖς, ἄνδρες τε καὶ γυναῖκες ἐκ εἴκοσι χωρῶν, τοῦτον τὸν δρόμον ποιοῦνται ἵνα πάντας μιμνήσκωσι τῶν ἐν ταύτῃ τῇ ἐρήμῳ οἰκούντων, τὸ δὲ αὐτὸ κατ᾽ ἐνιαυτὸν ποιοῦνται (ἤδη τὸ ἐνατὸν ἔτος πεποιήκασιν) καί, ὅταν ἐκεῖσε ἴωσιν, οὐ μόνον τὰ δρομικὰ ὑποδήματα φέρουσιν ἀλλὰ καὶ φάρμακά τε καὶ διδακτικὰ τοῖς διδασκαλείοις. τί δὲ ἆθλον κεῖται τῷ τε νικήσαντι καὶ τῇ νικησάσῃ; ῥόδον τῆς ἐρήμου, πῶς γὰρ οὔ.

## Shoe-throwing journalist sentenced to 3 years / The 12 countries enemies of the internet / Will we see the temple finished?

(14-03-09)

**Τοῦ τῷ Βούιξ ἐπιθεμένου τρία ἔτη καταγιγνώσκουσιν**

Τὸν Μουντάδαρ ἄλ-Ζαίδι, τὸν δημοσιογράφον ὃς τὰ ὑποδήματα ἐπὶ τὸν Γεωργὸν Βούιξ (τότε Ἀμερικανὸν πρόεδρον) ἐπέβαλεν, τρία ἔτη κατέγνωσαν· εἰς δίκην κληθεὶς εἶπεν ὁ Μ.Ζ. ὅτι μόνον τοῦτο ποιήσειεν ὃ δίκαιον εἴη καὶ ὅτι αὐτὸς μὲν ἀναίτιος εἴη, ὁ δὲ Βούιξ αἴτιος· ἔπειτα δὲ τοῖς δικασταῖς περὶ τὴν τῆς πράξεως αἰτίαν ἐρωτῶσιν ἀπεκρίνατο ὅτι ὁ μὲν Βούιξ πολλοὺς Ἰρακίους πολίτας ἀποκτείνειεν, αὐτὸς δὲ ὑπὲρ τῶν τεθνηκότων τιμωρίαν λαμβάνειν ἐπείρασεν· ὅμως δὲ τοὺς δικαστὰς οὐκ ἔπεισεν, ἀλλὰ ἐξ οὗ τοῦτο ἐποίησεν ἐγένετο ὁ Μ.Ζ. σύμβολον τῶν τὸν Βούιξ μισούντων κατὰ πᾶσαν τὴν οἰκουμένην.

**Αἱ δώδεκα χῶραι αἱ τῷ διαδικτύῳ πολεμίαι**

Ἡ ἑταιρεία "Δημοσιογράφοι ἄνευ ὅρων" καλουμένη ἐξέδωκε τὸν κατάλογον ἐν ᾧ τὰς χώρας φανερὰς ποιεῖ αἳ τοὺς πολίτας τῷ διαδικτύῳ ἐλευθερῶς χρῆσθαι οὐκ ἐῶσιν. αἱ δώδεκα χῶραι εἰσὶν ἡ Σαουδὶ Ἀραβία καὶ ἡ Βιρμανία καὶ ἡ Σίνα καὶ ἡ Βορεαία Κωρέα καὶ ἡ Κοῦβα καὶ ἡ Αἴγυπτος καὶ τὸ Ἰρᾶν καὶ τὸ Οὐδβηκιστᾶν καὶ ἡ Συρία καὶ ἡ Τουνιζία καὶ τὸ Τουρκμενιστᾶν καὶ τὸ Βιετνᾶμ· κατὰ δὲ ταύτην τὴν ἑταιρείαν οἱ ἐν ταύταις ταῖς χώραις οἰκοῦντες, καὶ εἰ τῷ διαδικτύῳ χρῆσθαι δύνανται, οὐκ ἔχουσι τὰ ξένα διαδίκτυα ὁρᾶν ἅτε τῶν ἀρχόντων κωλυόντων, λέγουσι δὲ ὅτι αἱ χῶραι οὗ τοῦτο ὡς κράτιστα ἀπαγορεύεται εἰσὶν ἡ Σίνη καὶ ἡ Κοῦβα καὶ τὸ Ἰρᾶν.

**Ἆρα τὸ ἱερὸν παντελὲς ὀψόμεθα;**

Πάντες οἱ τουρισταὶ οἳ εἰς τὴν Βαρκελόνην (τὴν ἐμὴν πόλιν) ἀφικνοῦνται ἄλλα τε ἔνδοξα ὑπομνήματά τε καὶ οἰκοδομήματα ὁρῶσι καὶ τὸ ἱερὸν τὸ τῆς "Ἱεροῦ Γένους" καλούμενον· πάντες μὲν ἴσασιν ὅτι ὁ Ἀντόνιος Γαουδὶ τοῦτο τὸ ἱερὸν πάλαι ὑπέγραψεν, ὅμως δὲ τὸ γενησόμενον ἱερὸν οὕτως μέγα ἐστὶ ὥστε οὐκέτι τέλος ἐπιτεθήκασιν· εἰκότως πολλῶν χρημάτων δεῖ, ταῦτα δὲ τά χρήματα ἐκ τῶν τουριστῶν κτῶνται οἳ τὸ ἱερόν, καίπερ ἔτι ἐλλιπὲς ὄν, ἔνδον ὁρᾶν βούλονται. ὅμως δὲ εἶπε νεωστὶ ὁ τῆς οἰκοδομίας ἀρχιτέκτων ὅτι οἱ νῦν τετταράκοντα ἔτη γεγονότες πᾶν τὸ ἱερὸν παντελὲς ὄψονται. ἆρα ἴσως ὀψὲ ἄγαν ἐμαυτῷ, ἤδη τετταράκοντα καὶ ἓξ ἔτη γεγονότι;

## North Korea arrests two American journalists / Iran will study Obama's proposal / Citizens of Neaples demonstrate against Mafia

(21-03-09)

**Ἡ Βορεαία Κωρέα δύο Ἀμερικανὰς δημοσιογραφίδας συλλαμβάνει**

Οἱ τῆς Βορεαίας Κωρέας φύλακες δύο δημοσιογραφίδας ἐγγὺς τοῦ Σινικοῦ ὅρου οὖσας συνέλαβον· αὗται μὲν αἱ δύο δημοσιογραφίδες ἐν Σινικῇ χώρᾳ οὖσαι ἐτύγχανον καὶ κινηματογραφικὰ ἐποιοῦντο περὶ τοῦ ὅρου καί, καίπερ τῶν τῆς Β. Κωρέας φυλάκων αἰτούντων, οὐκ ἐπαύσαντο τοῦτο ποιοῦσαι, ἔπειτα δὲ οἱ φύλακες διὰ τοῦ ὅρου διαβάντες τὰς δύο δημοσιογραφίδας συνέλαβον. ὅμως δὲ λέγουσι οἱ τῆς Β. Κωρέας φερέφωνοι ὅτι αἱ δημοσιογραφίδες οὐκ ἐν τῇ Σινικῇ χώρᾳ ἦσαν ἀλλὰ ἀκριβῶς ἐν τῇ Β. Κωρέᾳ· δεῖ οὖν νῦν πυνθάνεσθαι ὅστις τἀληθῆ λέγει.

**Οἱ Πέρσσαι τὸ τοῦ Ὀβάμα ἄγγελμα ὑπολογίσονται**

Τοῖς Πέρσαις νῦν τὸ νέον ἔτος δεχομένοις ὁ τῶν ΗΑΠ πρόεδρος Ὀβάμα φιλικὸν ἄγγελμα ἔπεμψεν, βούλεται γὰρ τὴν ἔχθραν τὴν πρὸς ἀλλήλους παύειν, οἱ δὲ τῆς Περσίδος ἄρχοντες ἀπεκρίναντο ὅτι τὸ μὲν ἄγγελμα μεθ᾽ ἡδονῆς δέξαιντο, τῷ δὲ Ὀμάβα οὐ πιστεύοιντο, ὁ γὰρ Ἀμερικανῶς πρόεδρος τοὺς Πέρσας αἰτιᾶται τοῦ τε ἀτομικὰ ὅπλα ἐργάζεσθαι πειρᾶν καὶ τὴν τρομοκρατίαν ἐποτρύνειν. αὗται αἱ χῶραι εἰς ἔχθραν κατέστησαν ἤδη τριακοστὸν ἔτος ἐξ οὗ τὸν τελευταῖον Σιὰ τὸν Ῥέζαν Παλέβι ἐκ τῆς ἀρχῆς ἐξήλασαν.

**Οἱ τῆς Νεαπόλεως πολῖται ἐπὶ τὴν Μαφίαν διαδηλοῦνται**

Πολλοὶ τῶν τῆς Νεαπόλεως πολιτῶν διὰ τῶν ἀγυιῶν διεδηλώσαντο τῇ Μαφίᾳ ἐνιστάμενοι καὶ τοὺς ὑπὸ ταύτης τῆς ἑταιρείας ἀποθανοῦντας τιμῶντες· ἡ μὲν Μαφία ἐν τῇ Νεαπόλει τὸ ἑαυτῆς κέντρον ἔχουσα οὐ μόνον χρηματιστικὰ ἀδικήματα ἀεὶ ἐποίησεν ἀλλὰ καὶ πολλοὺς ταύτῃ τῇ ἑταιρείᾳ ἐνιστάντας ἀπέκτειναν. ὁ δὲ Ἀντόνιος Βασσολῖνος, πρόεδρος τοῦ τῆς Καμπανίας δήμου (ἡ Νεάπολις ἐν τούτῳ τῷ δήμῳ κεῖται) εἶπεν ὅτι δέοι καθ᾽ ἡμέραν τῇ Μαφίᾳ ἐπιτίθεσθαι ἅτε καθ᾽ ἡμέραν ἀδικούσῃ, οἷον ὁ μὲν συγγραφεὺς Ῥοβέρτος Σαβιάνος

βίβλον τινὰ ἔγραψεν ἐν ᾗ περὶ τῆς Μαφίας πολλὰ καὶ κακὰ ἔλεγεν, νῦν δὲ αὕτη ἡ ἑταιρεία αὐτῷ τὸν θάνατον ἠπείληκεν.

## Olympic torch will not go round the world / Japanese man survived both atomic bombs / Closing Guantanamo becomes difficult

(28-03-09)

**Ἡ Ὀλυμπικὴ λαμπὰς οὐκέτι περὶ τὴν οἰκουμένην ἐνεχθήσεται**

Τοῖς τῶν Ὀλυμπίων ἄρχουσιν ἔδοξε τὴν Ὀλυμπικὴν λαμπάδα μὴ περὶ τὴν οἰκουμένην φέρεσθαι, τῶν μὲν γὰρ ἐν τῷ Βειγίνῳ Ὀλυμπίων γενεσομένων καὶ τῆς λαμπάδος, ἐν τῇ Ὀλυμπίᾳ φλεχθείσης, περὶ τὸν κόσμον φερομένης, πολλοὶ ἄνθρωποι τὴν πορείαν αὐτῆς κωλύειν ἐπειράσαντο ἅτε τῇ Σινικῇ δικτατωρείᾳ ἀνθιστάμενοι, οἱ δὲ ἄρχοντες οὐ βούλονται τοῦτο αὖθις γενέσθαι, διὰ δὲ ταῦτα ἡ λαμπάς, ἐν τῇ Ὀλυμπίᾳ φλεχθεῖσα, μόνον περὶ τὴν χώραν ἐνεχθήσεται ἐν ᾗ τὰ Ὀλύμπια γενήσεται. καὶ δὴ καὶ οὐ μόνον ταῦτα τὰ προβλήματα φυγεῖν πειρῶσιν οἱ συντάττοντες ἀλλὰ καὶ τὴν ἄμετρον δαπάνην μειοῦν.

**Ἰαπωνικὸς πολίτης ἐκ τῶν δυοῖν ἀτομικῶν βομβῶν περιεγένετο**

Ἐν τῇ Ἰαπωνίᾳ πολίτην Ἰαμαγοῦζι ὀνομαστὶ νεωστὶ ηὑρήκασιν ὃς ἐκ τῶν δυοῖν ἀτομικῶν ἀνατιναγμῶν περιεγένετο· καίπερ οὐδενὸς τοῦτο εἰδότος, οὗτος ὁ ἄνθρωπος, ἤδη ἐνενήκοντα καὶ τρία ἔτη γεγονὼς καὶ ἔτι καὶ νῦν ζῶν, ἐν τῇ πόλει Ἱροσίμῃ ἔτυχεν ὢν τῇ ἡμέρᾳ ἐν ᾗ τὸ ἀεροσκάφος Ἐνόλα Γαῖ τὴν πρώτην βόμβαν κατέρριψεν· ἔπειτα δέ, καίπερ βληθείς, πρὸς τὴν πόλιν Ναγασᾶκι ἐπορεύθη, ἐκεῖ γὰρ ᾤκει, τὴν δὲ δευτέραν βόμβαν ἔπαθεν, ἀλλὰ ὁ Ἰαμαγοῦζι αὖθις ἐν τῷ τῆς πόλεως κέντρῳ οὐκ ἔτυχεν ὤν, τὸ αὐτὸ καὶ ἐν τῇ Ἱροσίμῃ, διὰ δὲ τοῦτο πάλιν περιεγένετο. νῦν δὲ ἐξαίφνης τοῦτον τὸν ἄνθρωπον οὐδὲν περὶ τοῦτο τοσαῦτα ἔτη εἰπόντα ηὑρήκασιν.

**Τὸ τοῦ Γουαντανάμου δεσμωτήριον κατακλείειν χαλεπὸν γίγνεται**

Ὁ Βᾶρακ Ὀβάμα εἶπεν ὅτι, πρόεδρος γενομένος, τὸ τοῦ Γουαντανάμου δεσμωτήριον κατακλείσοι (τοῦτο γὰρ ὑπίσχετο εἰς ἀρχὴν παραγγέλλων), νῦν δὲ τοῦτο πειρᾷ· ὅμως δὲ τοῦτο ποιεῖν χαλεπώτερον ἐγένετο, τῶν γὰρ αἰχμαλώτων ἐν τῷ Ἰρᾶκ καὶ ἐν τῷ Ἀφγανιστᾶν ληφθέντων τοὺς μὲν ἐλευθερῶσαι ἔχουσιν, ἄλλους δὲ οὐκ ἔχουσιν, οὐδεμία γὰρ χῶρα βούλεται αὐτοὺς δέχεσθαι· καὶ δὴ καὶ ἑπτακαίδεκα μουσουλμανικοὶ Σίνοι ἐν τῷ δεσμωτηρίῳ μένουσιν, οὐ γὰρ βούλονται εἰς τὴν Σίναν ἐπανελθεῖν, λέγουσι γὰρ ὅτι ἐκεῖσε ἐπανελθόντες ἀποθάνοιεν ἄν.

## Kim Jong reappears / Terrible earthquake in Italy / President of Fiji abolishes constitution

(11-04-09)

### Ὁ Κῖμ Ἰόγγ πάλιν φαίνεται

Ὁ τῆς Βορεαίας Κωρέας ἄρχων Κῖμ Ἰόγγ, ὃν οὐδεὶς εἶδεν πολὺν χρόνον, πάλιν ἐν τῷ φανερῷ ὤφθη· ὁ Κ. Ι., ἤδη τὸν ἐνατὸν μῆνα νοσῶν, πάλιν ἐν τῇ Βουλῇ ἐφάνη, λέγουσι δὲ οἱ δημοσιογράφοι οἳ αὐτὸν εἶδον ὅτι γεραιότατός τε καὶ ἀσθενέστατος ἐφάνη καί, τῷ ῥήτορι ἐπικροτεῖν βούλόμενος, τῇ ἀριστερᾷ χειρὶ χρῆσθαι οὐκ ἐδύνατο. ἐν δὲ τῇ Βουλῇ ἔδει τοὺς βουλευτὰς τὸν τοῦ στρατοῦ ἄρχοντα ἑλέσθαι, ὡς δὲ τὸ εἰκός, τὸν Κ. Ι. εἵλοντο, ὁ γὰρ Κ. Ι. ἀεὶ τοῦ στρατοῦ ἄρχων κατ᾽ ἐνιαυτὸν αἱρεῖται ἐξ οὗ εἰς τὴν ἀρχὴν εἰσῆλθεν. ἡ Βορεαία Κωρέα, καίπερ τῶν πολιτῶν πεινώντων, τὸν μέγιστον τοῦ κόσμου στρατὸν ἔχει.

### Δεινότατος σεισμὸς ἐν τῇ Ἰταλίᾳ

Ἐν τῇ Ἰταλίᾳ δεινότατος σεισμὸς τὴν μέσην χώραν ἔσεισεν, ἑκατὸν δὲ καὶ ἐνενήκοντα ἄνθρωποι τούτῳ ἀπέθανον. τοῦτο μὲν τὸ δυστύχημα ἐγγὺς τῆς Ῥώμης ἐγένετο, τὸ δὲ ἐπικέντρον ἐν μικρᾷ πόλει Λ᾽ Ἄκιλα ὀνομαστὶ ἐγένετο, οὐδὲ ἐξῆν τοῖς ἐκεῖ πολιταῖς, ἅτε καθεύδουσιν (τῆς γὰρ νυκτὸς ἐγένετο), ἐκ τῶν οἰκημάτων ἐκβῆναι, διὰ δὲ τοῦτο τοσοῦτοι ἀπέθανον. ἔπειτα δὲ πάλιν ἄλλοι σεισμοὶ ἐγένοντο (καὶ γίγνονται καὶ νῦν), ὅμως δέ, τῶν πολιτῶν ἤδη ἔξω τῶν οἰκημάτων ὄντων, μόνον ἕνα ἄλλον πολίτην ἀπέθανεν. καὶ δὴ καὶ νῦν

πολλοὶ πολῖται, καίπερ περιόντες, οὐκ ἔχουσιν ὅπου καθεύδειν, ὁ δὲ τῆς Ἰταλίας στρατὸς πειρᾷ αὐτοὺς ὠφελεῖν.

**Ὁ τῶν Φίζι πρόεδρος τὴν πολιτείαν ἀναιρεῖ**

Ὁ τῶν Φίζι νήσων πρόεδρος, ὁ Ἰλοῖλα, οὐ μόνον τὴν πολιτείαν ἀνεῖλεν ἀλλὰ καὶ πάντας τοὺς ἐν τῇ χώρᾳ δικαστὰς ἀπέστησεν, ὁ μὲν γὰρ Ἰλοῖλα εἰς τὴν ἀρχὴν τῷ στρατῷ χρώμενος εἰσῆλθεν, οἱ δὲ δικασταὶ ταύτην τὴν ἀρχὴν παράνομον εἶναι νομίζοντες παύειν ἐπείρωντο, εἶπε δὲ ὁ Ἰλοῖλα ὅτι νῦν ὁ στρατὸς (πῶς γὰρ οὔ) τῆς χώρας ἄρξει. αἱ μὲν ἐγγὺς χῶραι τὸν Ἰλοῖλαν μάτην ᾔτησαν τὴν δημοκρατίαν πάλιν ἀποκαταστῆσαι, ὁ δὲ τῆς Νέας Ζηλανδίας πρόεδρος εἶπεν ὅτι νῦν ἡ τῶν Φίζι νήσων οἰκονομία ἐπὶ τὰ χείρω ἴοι.

## Belgian ship disappears near Somalia / Bodies of Mumbai terrorists still unburied / North Korea rejects sanctions

(18-04-09)

**Βελγικὴ ναῦς ἐγγὺς τῆς Σομαλίας ἀφανίζεται**

Ναῦς τις Βελγική, Πομπεῖ ὀνομαστί, χθὲς ἐγγὺς τῆς Σομαλινῆς παραλίας ἀφανὴς ἐγένετο, οὐδεὶς δὲ οἶδε πότερον ἡ ναῦς κατέδυ ἢ λῃσταί τινες ἔλαβον, οἱ γὰρ λῃσταὶ ἐν ἐκείνῃ τῇ θαλάττῃ συνεχῶς ναῦς λαμβάνουσι ἄλλοτε καὶ ἄλλοτε καὶ οὐ λύουσιν ἐὰν μὴ κόμιστρα δῶσιν· αὕτη ἡ ναῦς τῆς νυκτὸς ἐξαίφνης σημεῖον ἔπεμψε βοηθείαν μὲν αἰτοῦσα, οὐδὲν δὲ ἄλλο λέγουσα, ἡ δὲ τῆς Βελγίας ἀρχὴ ἤδη ἐπειράσατο μὲν τοῖς τε ναύταις καὶ τῷ ναυάρχῳ διαλέγεσθαι, μάτην δέ. ἡ ναῦς ἐπὶ τῶν Σεισέλλων νήσων ἔπλει, αὐτῇ δὲ μόνον δέκα ναῦται ἐνῆσαν.

**Τὰ τῶν τοῦ Μουμβαῖ τρομοκρατιστῶν σώματα ἔτι ἄθαπτοι μένουσιν**

Πάντες ἴσασι περὶ τῶν τρομοκρατικῶν εἰσβολῶν ἐν αἷς ἑκατὸν καὶ ἑξήκοντα ἄνθρωποι ὑπὸ τῶν τρομοκρατιστῶν ἀπέθανον· οἱ μὲν τρομοκρατισταὶ τρία πανδοκεῖα λαβόντες πολλοὺς τῶν ξένων οἳ ἔτυχον ἐκεῖ παρόντες ἀπέκτειναν, τῶν δὲ δέκα τρομοκρατιστῶν οἱ φύλακες

ἐννέα μὲν ἀπέκτειναν, ἕνα δὲ ἔζώγρησαν (οὐκέτι δὲ ἐδικάσθη), νῦν δὲ τὰ τῶν ἐννέα ἄλλων σώματα ἐν τῷ νοσοκωμείῳ κεῖνται· ὁ δὲ τῆς ἀρχῆς φερέφωνος εἶπεν ὅτι οὐδεὶς μὲν τὰ σώματα ἐξαιτήσειεν, οἱ δὲ μουσουλμανικοὶ οὐκ ἐθέλουσιν αὐτοὺς ἐν ταῖς μουσουλμανικαῖς νεκροπόλεσι θάπτειν.

**Ἡ Βορεαία Κωρέα τὰς κολάσεις ἀπωθεῖ**

Ὡς πάντες ἴσμεν, ἡ Βορεαία Κωρέα ἄρτι ἀτομικὸν πύραυλον ἀνῆκεν καίπερ πολλῶν ἄλλων χωρῶν (τῶν ΗΑΠ, τῆς Μεσεμβρινῆς Κωρέας, τοῦ Ἰαπονίας, κ.τ.λ.) αἰτούσων τοῦτο μὴ ποιεῖν καὶ ἀπειλούσων· νῦν δέ, τοῦ πυραύλου ἤδη ἀνεθέντος, αὗται αἱ χῶραι βουλεύονται πότερον δεῖ τὴν Β. Κ. οἰκονομικῶς κολάζειν ἢ οὔ· ὅμως δὲ ἡ τῆς Β. Κ. ἀρχὴ λέγει νῦν ὅτι τὰς κολάσεις νομίσουσιν πόλεμον προαγορεύειν εἶναι· καὶ δὴ καὶ λέγει ὅτι τοῦδε μέμνησθαι δεῖ, ὅτι τὸ Σεοῦλ μόνον πεντεκαίδεκα χιλιομέτρα τῆς Β. Κ. ἀπέχει. ἆρα δεῖ ἡμᾶς συνεῖναι ὅτι ἡ Β. Κ. πύραυλον ἐπὶ ταύτην τὴν πόλιν εἴη ἄν;

## Does Cleopatra lie here? / 140 die in Iraq / Last survivor of Titanic auctions her possessions

(25-04-09)

**Ἆρα κεῖται ἐνθάδε ἡ Κλεοπάτρα;**

Ἐν τῷ τοῦ Νείλου δέλτα ἱερόν τι κεῖται, Ταποσίρεως Μεγάλης καλούμενον, ἐκεῖ δὲ οἱ ἀρχαιολόγοι ὀρύττειν βούλονται, νομίζουσι γὰρ τὴν Κλεοπάτραν ἐκεῖ κεῖσθαι. ἆρα διὰ τί τοῦτο νῦν νομίζουσιν; διότι νεωστὶ νομίσματα ἐκεῖ ηὗρον τὸ τῆς Κλεοπάτρας ὄνομα ἔχοντα· λέγεται δὴ ὅτι ἡ Κλεοπάτρα, νικηθεῖσα τε καὶ ἀποθανοῦσα, ὑπὸ τῶν ἱερέων ἐξενεχθείη πρὸς ἱερόν τι κρύφιον ἵνα ἐκεῖ τῷ Ῥωμαικῷ στρατηγῷ Μάρκῳ Ἀντονίῳ εἰς ἀεὶ συνείη. ὅμως δὲ οὐκ ἔξεστι τοῖς ἀρχαιολόγοις νῦν ὀρύττειν, ὁ γὰρ λόφος ἐν ᾧ τὸ ἱερὸν κεῖται ἐγγύς ἐστι τῆς τοῦ προέδρου Μουβᾶρακ θερινῆς οἰκίας, δεῖ οὖν τὴν ὀπώραν ἥκειν.

**Ἑκατὸν καὶ τετταράκοντα ἀποθνῄσκουσιν ἐν τῷ Ἰρᾶκ**

Χθὲς μὲν διπλῆ τρομοκρατικὴ προσβολὴ ἐγένετο ἐν τῷ Ἰρᾶκ, ἐν τῷ τῆς Διιάλης δήμου καὶ ἐν τῷ Βαγδᾶδ, ὀγδοήκοντα δὲ ἄνθρωποι ἀπέθανον, τήμερον δὲ ἄλλων δυοῖν τρομοκρατικῶν προσβολῶν γενομένων ἑξήκοντα ἄλλοι ἀπέθανον· αὗται αἱ δύο τελευταῖαι προσβολαὶ ἐν ἱερῷ τινι ἐγένοντο, Μοῦσα ἀλ Καζὶμ ὀνομαστί, οἱ δὲ τρομοκράται τοῦτον τὸν τόπον ἐκ προνοίας εἵλοντο, τῇ γὰρ ἐκτῇ τῆς ἑβδομάδος οἱ μουσουλμανικοὶ εἰς τὸ ἱερὸν συνέρχονται· οἱ τρομοκράται εἰς τὸ ἱερὸν ἀφίκοντο τὰ βόμβα περὶ τῶν ἑαυτῶν σωμάτων ἔχοντες, ὡς δὲ τὸ εἰκὸς καὶ αὐτοὶ ἀπέθανον. οὐδὲ τὸ πρῶτον τοῦτο γίγνεται ἐν τούτῳ τῷ ἱερῷ, τὸ γὰρ αὐτὸ ἐν τῷ αὐτῷ ἱερῷ ἤδη ἄλλοι τὸ πρότερον ἐποίησαν.

**Ἡ τελευταία τῆς Τιτανικῆς περιοῦσα τὰ ἑαυτῆς πωλεῖ**

Τῆς Τιτανικῆς καταδύσης, πλεῖστοι τῶν ἐπιβατῶν ἀπέθανον, ὅμως δὲ οὐ πάντες, ἔνιοι γὰρ εἰς τὰ σκάφη, ὀλίγα ὄντα, εἰσβαίνοντες ἐσώθησαν. ἡ Μιλβίνα Δέαν, τότε μόνον ἐννέα ἑβδομάδας γεγονυῖα, ἐν σκάφει τινὶ ἦν, ἡ γὰρ μήτηρ αὐτήν τε καὶ τὸν ἀδελφὸν ἔφερεν (ὁ πατὴρ ἐν τῇ ναυαγίᾳ ἀπέθανεν) ἕως εἰς τὴν Καρπατίαν εἰσβᾶσαι ἐσώθησαν· νῦν δὲ δεῖ αὐτήν, ἤδη ἕπτα καὶ ἐνενήκοντα ἔτη γεγονυῖαν, χρήματα κτᾶσθαι, διὰ δὲ τοῦτο τὰ ἑαυτῆς ἐπώλησεν· ὅμως δὲ οὐ τοσαῦτα χρήματα ἐδέξατο ὅσα ἤλπιζεν, πλεῖστα γὰρ τῶν κτημάτων οὐ τῆς νεῶς ἀλλὰ ἑαυτῆς ἦσαν.

## Centurions to be removed from the Coliseum / Hero of the Great Escape dies / Chavez wants Obama to become socialist

(02-05-09)

**Οἱ τῆς Ῥώμης ἄρχοντες τοὺς κεντουριόνας τοῦ Κωλυσαίου ἀμύνουσιν**

Ὅστις εἰς τὴν Ῥώμην πορεύηται καὶ τῷ ἐνδόξῳ Κωλυσαίῳ ἐντυγχάνῃ, πολλοὺς κεντουριόνας ὄψεται οἳ ἀεὶ περὶ τὸν Κωλυσαῖον περιπατοῦσιν ἐὰν τοῖς τουρισταῖς δοκῇ φωτογραφείαν σὺν αὐτοῖς ἀντὶ χρημάτων ἔχειν· καὶ δὴ καὶ ἐνίοτε οὗτοι οἱ κεντουρίονες ἀλληλοῖς ἀληθῶς μάχονται, ἕκαστος γὰρ βούλεται ὡς πλείστους τουριστὰς ἑαυτῷ λαβεῖν, τόδε δὲ γελοιότατόν ἐστιν, ὅταν γὰρ ταῦτα τὰ παλαίσματα γένηται νομίζουσι οἱ τουρισταὶ τοῦτο ἐπιτηδές τε καὶ προσποιητὸν θέαμα εἶναι, οὐ γὰρ αἰσθάνονται τοῦτο ἀληθὲς ὄν. νῦν

βούλονται οἱ τῆς πόλεως ἄρχοντες ταῦτα κωλύειν καὶ μεταλλικὸν ἕρκος περὶ τοῦ Κωλυσαίου καταθεῖναι.

**Ὁ τῆς Μεγάλης Φυγῆς ἥρως ἀποθνῄσκει**

Πάντες εἴδομεν τὸ κινηματογραφικὸν ἔργον "Ἡ μεγάλη Φυγή", πάντες δὲ ἴσμεν περὶ τίνος τοῦτο τὸ ἔργον· ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ πολλοὶ Ἀγγλικοί τε καὶ Ἀμερικανοὶ στρατιῶται ἐκ Γερμανικοῦ δεσμωτηρίου ἐξέφυγον τρεῖς ὑπονόμους εἰς τὴν ἐλευθερίαν φερούσας ὀρύξαντες· ἑβδομήκοντα μὲν καὶ ἓξ ἐξέφυγον, τούτων δὲ οἱ πλεῖστοι αὖθις κατελέφθησαν, μόνον δὲ τρεῖς ἐλεύθεροι ἐγένοντο. ἐν ᾧ μὲν τοὺς ὑπονόμους ὤρυττον διελέγοντο ᾧτινι τρόπῳ δέοι τὴν γῆν ἀφανῆ ποιεῖν, ὁ δὲ Ἀλεξάνδρος Λέες, κηπουρὸς ὤν, μηχάνημα ἐμηχανήσατο· νῦν δὲ οὗτος ὁ ἀνήρ, ἤδη ἐνενήκοντα καὶ ἕπτα ἔτη γεγονώς, ἐν τῇ Σκωτίᾳ ἀπέθανεν.

**Ὁ Σιάβες βούλεται τὸν Ὀβάμα κοινονιστὸν γενέσθαι**

Ὁ Σιάβης, πρόεδρος τῆς Βενεζολίας, οὐ μόνον ἐν νῷ ἔχει τὴ χώραν ἧς ἄρχει πρὸς τὴν κοινονιστὴν οἰκονομίαν ἄγειν, νῦν γὰρ τῷ Ὀβάμα, προέδρῳ τῶν ΗΑΠ, τὸ αὐτὸ ποιεῖν προσέθηκεν, κατὰ γὰρ τὸν Σιάβη, ἡ Ἀμερικανὴ οἰκονομία καθ' ἡμέραν ἐπὶ τὰ χείρω ἔρχεται, ἡ δὲ τῆς Βενεζολίας, πῶς γὰρ οὔ, ἐπὶ τὰ βελτίω, δεήσει οὖν τὸν Ὀβάμα νέαν πολιτείαν τῇ Ἀμερικανῇ Βουλῇ προθεῖναι ἐὰν βούληται τὴν τῶν ΗΑΠ οἰκονομίαν σῴζειν. ἐξ οὗ ὁ Ὀβάμα πρόεδρος ἐγένετο, διὰ φιλίαν τῷ Σιάβει ἔρχεται καὶ αἱ δύο χῶραι αὖθις συνθήκας ἐποιήσαντο.

## Aristotle's Lyceum to become a museum / Gaugin tore off Van Gogh's ear / Pope arrives at Holy Places

(09-05-09)

**Τὸ τοῦ Ἀριστοτήλους Λύκειον μουσεῖον γενήσεται**

Τὸ τοῦ Ἀριστοτήλους Λύκειον, οὗ ὁ ἔνδοξος σοφὸς πάντα ἐδίδασκε (ἐδίδασκε γὰρ τήν τε φιλοσοφίαν καὶ τὴν βοτανικὴν καὶ τὰ περὶ τῶν ζῴων καὶ τὰ μαθηματικὰ κ.τ.λ.) ηὑρήσθη ἤδη τὸ δωδεκάτον ἔτος ἐν ταῖς Ἀθήναις, τῶν ἀρχαιολόγων πλείω ἢ ἑκατὸν καὶ πεντήκοντα ἔτη ζητησάντων· ὅμως δὲ μόνον στῆλαι τινὲς καὶ τείχη περιμένουσιν· τότε μὲν οἱ τῶν Ἀθηνῶν ἄρχοντες οὐκ ᾔδησαν τί δέοι ἐκεῖ ποιεῖν, ἐν γὰρ τῷ δημοσίῳ χρήματα οὐκ ἦν, νῦν δὲ δοκεῖ αὐτοῖς μουσεῖον κατασκευάζειν, τὰ γὰρ χρήματα ἡ ἑταιρεία "ΟΠΑΠ" παρέχειν ἐθέλει. ὅμως δὲ οἴκημα οὐκ οἰκοδομήσουσιν, ὑπαίθριον γὰρ μουσεῖον ἔσται.

**Ὁ Γαυγῖν τὸ τοῦ Βὰν Γὼγ οὖς ἀφήρπασεν**

Πάντες ἴσασιν ὅτι ὁ ἔνδοξος ζωγράφος Βὰν Γὼγ μόνον ἓν οὖς εἶχεν, παραδίδοται δὲ ὅτι ὁ Βὰν Γώγ, μανικὸς γενόμενος, αὐτὸς τὸ ἑαυτοῦ οὖς ἀφήρπασεν· ὅμως δὲ τοῦτο τἀληθῆ οὔκ ἐστιν, λέγουσι γὰρ νῦν δύο Γερμανικοὶ ἱστοριογράφοι οἳ τόν τε τοῦ Βὰν Γὼγ βίον καὶ τὸν τοῦ Γαυγῖν ἐξήτασαν ὅτι οἱ δύο ζωγράφοι, πρῶτον μὲν φίλοι γενομένοι, ἔπειτα δὲ ἀλληλοῖς ὀργισθέντες καὶ εἰς ἔχθραν καταστάντες, μονομαχίαν ἐποιήσαντο, ἐν ᾗ ὁ Γαυγῖν, ἄμεινον τῷ ξίφει χρώμενος, τὸ τοῦ Β.Γ. οὖς ἐπήρωσεν. ἀλλὰ πρὸ τῆς μονομαχίας οἱ δύο συνθήκην ἐποιήσαντο, κατὰ ἣν οὐδεῖς οὐδὲν τοῖς φύλαξι ἐροίη, διὰ δὲ τοῦτο ὁ Β.Γ., ἤδη τρωθείς, πρὸς τὸ νοσοκομεῖον οὐ προσῆλθεν.

**Ὁ Ἀρχιερεὺς εἰς τοὺς Ἱεροὺς Τόπους ἀφικνεῖται**

Ὁ Ἀρχιερεὺς Ῥαζίγγηρ εἰς τοὺς Ἱεροὺς Τόπους ἀφίκετο χθὲς τὸ πρῶτον ἐξ οὗ Ἀρχιερεὺς ἐγένετο, ἐν δὲ τῷ τοῦ Ἀμμᾶν ἀερολιμένι ὑπὸ τοῦ τῆς Ἰωρδανίας βασιλέως ἐδέχθη· ἔπειτα δὲ πρὸς τὸ Ἰσραῆλ καὶ τὴν Παλαιστίνην ἐλεύσεται· ἐν δὲ ταύτῃ τῇ πορείᾳ βούλεται ὁ Ἀρχιερεὺς τὴν εἰρήνην τοῖς τε Χριστιανοῖς καὶ τοῖς Μουσουλμανικοῖς καὶ τοῖς Ἰουδαίοις ἐποτρύνειν πειρᾶν· χθὲς δέ, περὶ τούτου εἰπών, ᾔτησε ὁ Ἀρχιερεὺς τοὺς Χριστιάνους καὶ τοὺς Ἱεροὺς Τόπους μὴ καταλιπεῖν ἀλλὰ ἐκεῖ καρτερικῶς τε καὶ ἀνδρείως μένειν.

## Italian senators against illegal immigration / Nobel Prize winner Aung San Suu Kyi arrested / John Demjanjuk on trial

(16-05-09)

**Οἱ Ἰταλιανοὶ Βουλευταὶ ἐπὶ τὴν λάθρᾳ μετοικίαν**

Οἱ Ἰταλιανοὶ βουλευταὶ ἐψηφίσαντο νέον νόμον περὶ τοὺς μετοίκους, μάλιστα γὰρ διαλέγονται ἐν τῇ Ἰταλίᾳ νῦν περὶ τῶν ξένων οἳ εἰς ἐκείνην τὴν χώραν λάθρᾳ εἰσβάντες ἐκεῖ μένουσι καὶ συνεχῶς ἀδικοῦσί τε καὶ παρανομοῦσιν· κατὰ δὲ τὸν νέον νόμον ἔξεσται νῦν τοὺς εἰς τὴν χώραν λάθρᾳ εἰσβάντας παρανόμους ἔχειν τε καὶ καταδικάζειν. ἄλλοι μὲν τούτον τὸ νὲον νόμον ἐπαινοῦσιν, ἄλλοι δὲ λέγουσιν ὅτι νῦν ἡ ἔχθρα ἡ ἐπὶ τοὺς ξένους αὐξηθήσεται· ἐν δὲ τῇ Βουλῇ καὶ διελέχθησαν περὶ τῶν νυκτερινῶν ἐφοδειῶν, οἱ γὰρ πολῖται βούλονται τὰς πόλεις νυκτοφυλακεῖν.

**Τὴν Βουρμανικὴν Νόβηλ Ἆθλον δεξαμένη Αὖγγ Σὰν  Σοῦ Κίι καθειργνύασιν**

Ἡ Αὖγγ Σὰν Σοῦ Κίι, Νόβηλ Ἆθλον δεξαμένη καὶ ἤδη ἑξήκοντα καὶ τρία ἔτη γεγονυῖα, ἐν τῇ ἑαυτῆς οἰκίᾳ ἀεὶ μένει, οὐ γὰρ ἔξεστιν αὐτῇ ἐκ τῆς οἰκίας ἐκβῆναι, οἱ γὰρ τῆς Βουρμανίας ἄρχοντες ἀπαγορεύουσιν. χθὲς δὲ οἱ φύλακες αὐτὴν ἐκ τῆς οἰκίας ἐξήνεγκον καὶ εἰς τὸ δεσμωτήριον εἰσέβαλον καίπερ ἐκ τῆς οἰκίας οὐκ ἐκβᾶσαν· ἆρα τίς ἡ αἰτία; ἥδε ἐστὶν ἡ αἰτία· Ἀμερικανὸς μὲν πολίτης τις διὰ τῆς λίμνης νεῦσας (ἡ γὰρ οἰκία ἐγγὺς λίμνης τινὸς κεῖται) τοὺς φύλακας ἔλαθεν εἰς τὴν οἰκίαν ἀφικόμενος καὶ ἔνδον τῆς οἰκίας τῇ Α.Σ.Σ.Κ. διελέχθη, ἔπειτα δὲ αὐτὸν ἐκβαίνοντα εἶδόν τε καὶ κατέλαβον. νῦν δὲ λέγουσιν οἱ τῆς Βουρμανίας ἄρχοντες ὅτι αὕτη ἡ γύνη μάλιστά τε καὶ ὑβριστῶς ἠδίκησεν ἅτε ξένον δεξαμένη. ὅμως δὲ τοῦτο οὐχ ἱκανὸν ἦν τοῖς τῆς Βουρμανίας ἄρχουσιν, τῇ γὰρ ὑστεραίᾳ καὶ τὸν ἰατρὸν αὐτῆς κατέλαβον.

**Τὸν Ἰωάννην Δεμιάνουκ δικάσουσιν**

Ὁ Δεμιάνουκ, νῦν ὀγδοήκοντα καὶ ἐννέα ἔτη γεγονώς, ἐν τῷ Δευτέρῳ Παγκοσμίῳ Πολέμῳ μυρίους Ἰουδαίους ἀπέκτεινεν, τότε γὰρ ἐν τῇ Πολονίᾳ οὗτος ὁ Οὐκρανιάνος τοῖς Γερμάνοις συνέπραττόν τε καὶ ἐβοήθει· νῦν δέ, αὐτὸν εὑρόντες καὶ ἐκ τῆς Ἀμερίκης εἰς τὴν Γερμανίαν κομίσαντες δικάζειν βούλονται, λέγουσι δὲ πάντες ὅτι ἴσως οὗτος ἐστὶ ὁ τελευταῖος νάζι, πάντες γὰρ οἱ ἄλλοι τεθνήκασιν ἢ ἤδη κατέγνωσαν.

## Former president of South Korea commits suicide / Four islamists arrested in New York / The expenses of British MPs

(23-05-09)

**Ὁ πρότερος τῆς Μεσημβρινῆς Κωρέας πρόεδρος ἑαυτὸν ἀποκτείνει**

Ὁ Ῥῶ Μοῦ Ἰοῦν, πρότερος τῆς Μεσημβρινῆς Κωρέας πρόεδρος, ἑαυτὸν ἀπέκτεινε χθές· ὁ Ρ.Μ.Ι. ἐν τοῖς ὄρεσιν ἦν, εἶπε γὰρ ὅτι τὴν ἡμέραν ἐκεῖ διάγειν ἐβούλετο· ἐκεῖ δέ, τῶν φυλακῶν τὸν νῦν οὐ προσεχόντων, ἐκ τῆς ἄκρας ἑαυτὸν ἔρριψεν· ὅμως δὲ ἐν τῇ ὄρει οὐκ απέθανεν, ἀλλὰ ἐν νοσοκωμείῳ τινὶ οἷ αὐτὸν ἤδη βληθέντα προσήνεγκον. ὁ Ρ.Μ.Ι. γραφὴν τοῖς τε οἰκείοις καὶ τοῖς φίλοις κατέλιπεν ἐν ᾗ εἶπεν ὅτι ἑαυτὸν ἀποκτείνειν ἐν νῷ ἔχοι, λέγεται δὲ ὅτι οἱ τῆς χώρας φύλακες αὐτὸν συλλαβεῖν μέλλοιεν τῇ ὑστεραίᾳ ἅτε δημοσία χρήματα λάθρᾳ τε καὶ παρὰ τοὺς νόμους λαβόμενον.

**Τέτταρες μουσουλμανοι ἐν τῇ Νέᾳ Ἰόρκῃ κατελκατέχονται**

Οἱ τῆς Νέας Ἰόρκης φύλακες τέτταρας ἀνθρώπους κατέλαβον· οὗτοι οἱ ἄνθρωποι μουσουλμανοὶ ᾿Αμερικανοί εἰσιν, κατὰ δὲ τοὺς φύλακας ἐν νῷ εἶχον ἐπὶ συναγωγὰς καὶ ἄλλους ἰουδαικοὺς τόπους προσβολὰς ποιεῖν, καὶ δὴ καὶ Στίγγηρ πύραυλα εἶχον, οἷς πολεμικὰ ἀεροσκάφη καταβαλεῖν ἐβούλοντο. τοὺς δὲ τρομοκράτας ἐν τῷ δήμῳ Βρὸγξ κατέλαβον. εἷς τῶν φυλάκων εἰς τὴν τρομοκρατικὴν ἑταιρείαν λάθρᾳ εἰσέβη προσποιούμενος αὐτοῖς ὁμολογεῖν καὶ τούτου χάριν πάντα ἐπυνθάνετο ὅσα οἱ τρομοκράται ἐν νῷ ποιεῖν εἶχον.

**Αἱ τῶν Βριταννικῶν βουλευτῶν δαπάναι**

Ὁ Μιχαὴλ Μάρτιν, πρόεδρος τῆς Βριταννικῆς Βουλῆς, τὴν ἀρχὴν κατέλιπεν χθὲς ἅτε αἰτιώμενος τῆς τῶν βουλευτῶν δαπάνης, πολλὰ γὰρ ταύταις ταῖς ἡμέραις διαλέγονται οἱ δημοσιογράφοι περὶ τούτων τῶν δαπανῶν, λέγοντες ὅτι πολλοὶ βουλευταὶ δημοσίαις χρήμασι χρῶνται ἵνα ἰδίας οἰκίας καὶ ἁμάξας καὶ ἄλλα ἰδία κτήματα ὠνῶνται· τέλος δέ, τῶν δημοσιογράφων περὶ τούτου καθ᾽ ἡμέραν γραψάντων, ἔνιοι μὲν τῶν βουλευτῶν τὰ χρήματα

ἀπέδοσαν, ἄλλοι δὲ πάντα ἀρνοῦνται καὶ διαβεβαιοῦνται ὅτι αἰτίας ἐκτός εἰσιν. τὸν δὲ Μάρτιν οὐ μόνον οἱ τῶν ἄλλων ἑταιρειῶν βουλευταὶ αἰτιῶνται ἀλλὰ καὶ οἱ τῆς ἑαυτοῦ.

## It is possible to see Varo's face / Three men executed in Iran / F. C. Barcelona wins European Cup

(31-05-09)

**Ἔξεστι τὸ τοῦ Βάρου πρόσωπον αὖθις ἰδεῖν**

Ὁ Πούβλιος Κιντίλιος Βάρος, ὁ ἄρχων ὁ τῆς Γερμανίας, ἐν τῇ τοῦ Τευτοβούργου μάχῃ ἐπὶ τοὺς Γερμανικοὺς μαχόμενος καὶ ὑπὸ τοῦ Ἀρμινίου νικηθεὶς ἑαυτὸν τῷ ἑαυτοῦ ξίφει ἀπέκτεινεν· αὕτη μὲν ἡ μάχη ἐνδοξοτάτη ἐγένετο οὐ μόνον ἅτε τοῦ Βάρου ἐκεῖ ἀποθανόντος ἀλλὰ καὶ τριῶν λεγιόνων διαφθαρεισῶν, τοσούτοι δὲ ἄνθρωποι ἀπέθανον ὥστε ὁ Καῖσαρ Αὐγούστος περὶ τῆς συμφορᾶς ἀκούσας εἶπεν "ὦ Βάρε, τὰς ἐμὰς λεγιόνας μοι ἀποδός". νῦν δὲ οἱ Γερμανικοὶ ἐπιστήμονες νομίσμασί τε καὶ ἠλεκτρονικοῖς ὑπολογισταῖς χρώμενοι τὸ τοῦ Βάρου πρόσωπον πάλιν διαγράφειν ἐπειράσαντο. τοῦτο δὴ ἐποίησαν διότι νῦν ἤδη τὸ δισχιλιοστὸς ἔτος αὕτη ἡ μάχη ἐγένετο.

**Τρεῖς ἀνθρώπους ἐν τῷ Ἰρᾶν θανατοῦσιν**

Οἱ τοῦ Ἰρᾶν ἄρχοντες τρεῖς ἀνθρώπους ἐθανατώσαντο ἅτε ἐν ἱερῷ τινι πέντε καὶ εἴκοσι ἀνθρώπους ἀποκτείναντας· κατὰ δὲ τὸν τῆς ἀρχῆς φερέφωνον, τοὺς τρομοκρατιστὰς ἐγγὺς τοῦ αὐτοῦ ἱεροῦ ἐν ᾧ ἡ προσβολὴ ἀγορᾶς πληθούσης ἐγένετο δικάσαντες καὶ καταγνώσαντες ἐθανάτωσαν. τὴν μὲν τῆς προσβολῆς αἰτίαν οὐδεὶς οἶδεν, λέγεται δὲ ὅτι οἱ Ἰράνιοι νῦν καθ' ἡμέραν ἀλληλοῖς μάχονται, ἀρχαιρεσίαι γὰρ γενήσονται ἐν ἐκείνῃ τῇ χώρᾳ τῇ δωδεκάτῃ Ἰουνίου μηνός.

**Ἡ Ποδοσφαιρικὴ Ἡταιρεία Βαρκελόνα τὸ Εὐρωπαικὸν Ἆθλον φέρεται**

Ἡ Π. Η. Βαρκελόνα τὸ Εὐρωπαικὸν Ἆθλον ἠνέγκατο τὸ Μάνσιεστερ νικήσας ἐν τῷ τελευταίῳ ἀγῶνι. ἡ δὲ Καταλανικὴ ἑταιρεία ἐνδοξοτάτη ἐγένετο τούτῳ τῷ ἐνιαυτῷ διότι οὐ

μόνον τοῦτο τὸ Εὐροπαικὸν ἆθλον ἐκτήσατο ἀλλὰ καὶ τὰ ἄλλα δύο Ἰσπανικὰ ἆθλα, τρία οὖν ἆθλα καθόλου. ἐν μὲν ταύτῃ τῇ ἑταιρείᾳ βέλτιστοι ἀγωνισταὶ ἐργάζονται, ὅμως δὲ λέγεται (καὶ πάντες ὁμολογοῦνται) ὅτι ὁ ταύτην τὴν μεγίστην ἑταιρείαν ποιήσας τῷ ὄντι ὁ Ἰωσέφος Γουαρδιόλα ἐστίν· ὁ μὲν Γουαρδιόλα πρότερον ἀγωνιστὴς ἐν τῇ Π. Η. Β. πολλὰ ἔτη ἦν, ἔπειτα δὲ παιδοτρίβης ἐγένετο.

## Berlusconi and the pictures / Five ministers of Gordon Briown resign / The Big Ben, 150 years old

(06-06-09)

### Ὁ Βερλουσκόνι καὶ αἱ φωτογραφίαι

Ὁ Ἰταλιανὸς πρωθυπουργὸς Βερλουσκόνι ἐν τῇ ἑαυτοῦ οἰκίᾳ ὢν φίλους καὶ φίλας τινὰς ἐδέξατο, πᾶσι δὲ ἐν τῇ κολυμβήθρᾳ ἔδοξε νεῖν, ὁ γὰρ ἥλιος μάλιστα ἔφλεγεν· τοῦτο δὲ οὐδαμῶς αἰσχρὸν εἴη ἄν, ἀλλὰ... δημοσιογραφός τις ἔτυχεν ἐκεῖ ὢν καὶ φωτογραφίας τινὰς ἐποίησεν· τί δὲ ἔξεστι ἐν ταύταις ταῖς φωτογραφίαις ἰδεῖν; δύο ἢ τρεῖς κόρας οὐδεμίᾳ στολῇ χρωμένας· ὁ δὲ Βερλουσκόνι, μάλιστα ὀργισθείς, εἰς δίκην τὸν δημοσιογραφὸν ὑπάγειν νῦν ἐν νῷ ἔχει, διαβεβαιοῦται γὰρ ὅτι ὁ δημοσιογραφὸς εἰς τὴν ἰδίαν δίαιταν παρὰ τοὺς νόμους εἰσέβαλεν, πολλοὶ δὲ πολῖται λέγουσιν ὅτι τοῖς ἀρχοῦσιν οὐκ ἔξεστιν ἰδίαν δίαιταν ἔχειν.

### Πέντε τοῦ Γόρδων Βραῦν ὑπουργοὶ τὴν ἀρχὴν καταλείπουσιν

Διαλέγονται νῦν οἱ τῆς Βριταννίας πολῖται περὶ τῆς δαπάνης τῆς τῶν ἀρχόντων δημοσίοις χρήμασι χρωμένων, διὰ δὲ τοῦτο πέντε μὲν τῶν ὑπουργῶν ἤδη τὴν ἀρχὴν "ἑκόντες" καταλελοίπασιν, πλεῖστοι δὲ τῶν βουλευτῶν τὸν πρωθυπουργὸν Βραῦν ᾔτησαν τὴν ἀρχὴ ("ἑκόντα", πῶς γὰρ οὔ) καταλιπεῖν. ὡς τὸ εἰκός, ὁ πρωθυπουργὸς εἶπεν ὅτι οὐδεὶς τὴν χώραν βελτίον ἄρξοι ἢ αὐτός. ἐν δὴ τῷ τοιούτῳ δεῖ αὐτὸν τὴν ἀρχὴν μεταβαλεῖν νέους ὑπουργοὺς αἱρούμενον· καὶ δὴ καὶ δεῖ νῦν ἀρχαιρεσίας τῇ Εὐρωπαικῇ Βουλῇ ποιεῖν, λέγουσιν δὲ οἱ ἀναλυσταὶ ὅτι ἡ τοῦ Βραῦν ἑταιρεία πολλὰς ψήφους ἀποβαλεῖ τῆς ἀγανακτήσεως τῆς περὶ τῆς δαπάνης ἕνεκα.

**Τὸ Μέγα Βέν, ἤδη ἑκατὸν καὶ πεντήκοντα ἔτη γεγονός**

Τὸ ἐνδοξότατον χρονομέτρον τῆς οἰκουμένης ἤδη ἑκατὸν καὶ πεντήκοντα ἔτη γέγονεν· καὶ εἰ πάντες νομίζουσι "Μέγα Βὲν" τὸ ὄνομα τὸ τοῦ χρονομέτρου εἶναι, ἀκριβῶς Μέγα Βὲν μόνον τὸ ὄνομά ἐστιν τῆς κώδωνος ἔνδον τοῦ χρονομέτρου οὔσης, τρεῖς καὶ δεκα τόνους τὸ βάρος οὔσης· ὁ μὲν πύργος ἐν ᾧ τὸ χρονομέτρον κεῖται "πύργος τοῦ Ἁγίου Στεφάνου" καλεῖται, τοῦτο δὲ ἐπὶ τὸ πολὺ οὐδεὶς οἶδεν. ἐν δὲ τῷ χρονομέτρῳ ἐπιγραφή ἐστιν, ἐν ᾗ ἔξεστιν ἀναγνῶναι Ῥωμαιστὶ "ὦ Κύριε, τὴν ἡμετέραν Βασιλείαν Οὐικτωρίαν τὴν Πρώτην σῶσον".

## Ahmadinejad wins elections / Gadhafi arrives at Rome / Football economy goes mad

(13-06-09)

**Ὁ Ἀχμαδινεῖαδ ἐν ταῖς ἀρχαιρεσίαις νικᾷ**

Χθὲς ἐν τῷ Ἰρᾶν ἀρχαιρεσίας ἐποιήσαντο οἱ πολῖται, ἐδέησε γὰρ νέον τῆς χώρας πρόεδρον ἑλέσθαι, τοσοῦτοι δὲ πολῖται ψηφίζεσθαι ἐβούλοντο ὥστε ἀναγκαῖον ἐγένετο τέλος τῇ ψηφοφορίᾳ οὐκ ἐπιθεῖναι πρὶν ἢ πάντες οἱ πολῖται ψηφίσαιντο. πλείστων δὲ τῶν ψήφων ἤδη ἀριθμηθέντων, ὁ Ἀχμαδινεῖαδ δοκεῖ νικῆσαι. ὅμως δὲ ὁ ἄλλος εἰς ἀρχὴν παραγγέλλων, ὁ πρότερος πρωθυπουργὸς Μουσάβι, εἶπεν ὅτι ἐν τῇ τῶν ψηφῶν ἀριθμήσει ἀνωμαλίαι ἐγένοντο καὶ ὅτι εἰ ἀκριβῶς τὰς ψήφους ἠρίθμησαν, αὐτὸς νικήσειεν ἄν. τί ποιήσει νῦν κατὰ τὸ Ἰσραῆλ ὁ Ἀχμαδινεῖαδ, ὃς ἀεὶ λέγει ὅτι δεῖ ταύτην τὴν χώραν ἀπολλύναι;

**Ὁ Γαδδάφι εἰς τὴν Ῥώμην ἀφικνεῖται**

Ὁ τῆς Λυβίης πρόεδρος Γαδδάφι εἰς τὴν Ῥώμην τὸ πρῶτον ἀφίκετο, τὴν γὰρ χώραν ἐπισκοπεῖν βούλεται· ἀφικόμενος δὲ τῷ Βερλουσκόνι διελέχθη, λέγουσι δὲ οἱ δημοσιογράφοι ὅτι οὐ μόνον περὶ συνθηκῶν διελέγοντο ἀλλὰ καὶ περὶ τοῦ χρόνου ἐν ᾧ ἡ Ἰταλία τὴν Λυβίαν ἐπεῖχεν. ὁ μὲν Γαδδάφι οὐ μόνος ἀφίκετο ἀλλὰ σὺν τριακοσίοις ἀκολούθοις, ἐν δὲ παραδείσῳ τινὶ τῆς μέσης Ῥώμης μεγίστην βεδουίνην σκηνὴν ἐστήσατο·

καίπερ τοῦ Βερλουσκόνι ἀγαθὰ τὸν Γαδδάφι εἰπόντος, πολλοὶ πολῖται ἐνέστησαν λέγοντες ὅτι οὗτος ὁ ἄνθρωπος τοὺς τρομοκράτας ἀεὶ ἐπικουρεῖ.

**Ἡ τοῦ ποδοσφαίρου οἰκονομία μαίνεται**

Τοῦ τελευταίου ἀγῶνος τελευτήσαντος, αἱ ποδοσφαιρικαὶ ἑταιρείαι πειρῶσι τοὺς βελτίστους ποδοσφαιριστὰς μισθοῦν· πάντες μὲν ἴσμεν ὅτι οὗτοι οἱ ἀγωνισταὶ ἀεὶ πολλὰ χρήματα ἐκτήσαντο, νῦν δὲ τὰ μισθώματα οὕτως ηὔξηκεν ὥστε ἡ τῶν ἑταιρειῶν οἰκονομία ἐμάνη· πρῶτον μὲν τὸ Μαδρῖδ τὸν Κακὰ μεμίσθωκεν πλεῖστα χρήματα καταθέν, ἔπειτα δὲ τὸ αὐτὸ ἐποίησεν ἵνα τὸν Χρεστιάνον Ῥωνάλδον μισθώσειεν, νῦν δὲ ἡ Βαρκελόνη τὸν Γάλλον Ῥιβέρι μισθῶσαι πειρᾷ καὶ δεήσει τὸ αὐτὸ καταθεῖναι, ἀλλὰ τὸ πρόβλημα τόδε ἐστίν· νῦν οἱ ἄλλοι ποδοσφαιρισταὶ τὸν αὐτὸν μισθὸν δέχεσθαι βούλονται, οὐδεὶς γὰρ ἐθέλει ἐλάττων τῶν ἄλλων εἶναι.

## Bodies of crashed airplane found / Obama to sign anti-tobacco decree / Riots in Iran

(21-06-09)

**Σώματα τοῦ πεσόντος ἀεροσκάφους εὑρίσκουσιν**

Οἱ ναῦται οἳ τὰ τοῦ πεσόντος ἀεροσκάφους λείψανα ἐζήτουν σώματα ηὗρον τινὰ τῶν ἐπιβάτων· νῦν δὲ ταῦτα τὰ σώματα ἐξετάσαντες ἐλπίζουσιν οἱ ἔμπειροι πυνθάνεσθαι περὶ τῶν τῆς συμφορᾶς αἰτιῶν, οὐκέτι γὰρ τοῦτο ἴσασιν. λέγουσι δὲ οἱ ἰατροὶ ὅτι πλειστοι μὲν τῶν σωμάτων πολλὰ ὀστᾶ ῥαγέντα εἶχον, τοῦτο δὲ σημαίνει ὅτι τὸ ἀεροσκάφος ἔτι πετόμενον ἐσχίσθη· λέγουσι δὲ καὶ ὅτι περὶ τῶν νεκρῶν ἐσθήματα οὐκ ἦσαν, ἴσως δὲ σημαίνει τοῦτο καὶ τὸ αὐτό, ὅτι τὸ ἀεροσκάφος ἐσχίσθη ἔτι πετόμενον, τὸ γὰρ πνεῦμα τὰ ἐσθήματα τῶν οὕτως τάχιστα πιπτόντων σωμάτων ἐσπάραξεν.

**Ὁ Ὀβάμα βούλευμα ἐπὶ τὸ καπνίζειν ὑπογράψεται**

Ὁ τῶν ΗΑΠ πρόεδρος Βᾶρακ Ὀβάμα βούλευμα ἐπὶ τὸ καπνίζειν ὑπογράψεσθαι μέλλει· ἐὰν δὲ τὸ βούλευμα ὑπογράψηται, οὐκ ἔξεσται τοῖς ζιγάρα ἐργαζομένοις αὐτὰ εἰς τὸ φανερὸν τοσοῦτον ἐπαγγέλλειν ὡς τὸ νῦν (ἔξεσται, ἀλλὰ ἔλασσον), δεήσει δὲ καὶ κωλύειν τοὺς παῖδας αὐτὰ ὠνεῖσθαι· τοῦτο δὲ τὸ βούλευμα πολλοὶ πολῖται οἳ τὸ καπνίζειν μισοῦσιν ἐποτρύνουσιν, πάντες γὰρ ἴσμεν ὅτι τὸ καπνίζειν πολλοὺς μυρίους ἀνθρώπων κατ' ἐνιαυτὸν ἀποκτείνει, λέγουσι δὲ ὅτι ἡ δαπάνη ἡ τῶν νοσούντων καπνιζόντων συνεχῶς αὐξάνει.

**Ταραχὴ ἐν τῷ Ἰρᾶν**

Οὐδενὸς ἀκριβῶς εἰδότος ὅστις ἐν ταῖς ἀρχαιρεσίαις ἀληθῶς ἐνίκησεν, οἱ τοῦ Ἰρᾶν πολῖται ἐν ταῖς ἀγυιαῖς ἀλλήλοις μάχονται· τοῦ μὲν Μουσαβὶ εἰπόντος ὅτι οἱ ἐν τέλει τὰς ἀρχαιρεσίας οὐ κατὰ τοὺς νόμους ἐποιήσαντο καὶ ὅτι περὶ τοῦ ἀποβαίνοντος ψεύδονται, ὁ Ἀχμαδινεῖαδ ἐνίους τε ξένους δημοσιογράφους ἐκ τῆς χώρας ἐξέβαλε καὶ τοὺς φύλακας ἐπὶ τοὺς ἀνθισταμένους πολίτας ἐξέπεμψεν, ἐκ δὲ τούτων τῶν διαδηλουμένων πολιτῶν εἴκοσι ὑπὸ τῶν φυλάκων ἀπέθανον· καὶ δὴ καὶ ὁ Ἀχμαδινεῖαδ τρομοκράτας καλεῖ τοὺς ἐπὶ τὴν ἀρχὴν ἀνθισταμένους, οὕτως δὲ πρόφασιν ἔχει ἵνα ἐπὶ αὐτοὺς ἐπιβάλλῃ.

## Michael Jackson dies / Hamelin flautist arrives again / Politkovskaia killers to be judged again

(27-06-09)

**Ὁ Μιχαῆλ Ἰάξων ἀποθνῄσκει**

Ὁ ἔνδοξος Ἀμερικανὸς ἀοιδὸς Μιχαῆλ Ἰάξων ἀπέθανεν· οἱ μὲν φύλακες, εἰς τὴν οἰκίαν αὐτοῦ εἰσβάντες, αὐτὸν ἤδη τεθνηκότα ηὗρον· τῆς δὲ ἀγγέλματος περὶ τῆς οἰκουμένης ὡς τάχιστα περιελθούσης, ὡς εἰκός, πάντες διαλέγονται νῦν περὶ τῆς τοῦ θανάτου αἰτίας, λέγεται δὲ ὅτι ὁ Ἰάξων φάρμακα πολλὰ ἔπιεν τῆς νυκτὸς ᾗ ἀπέθανεν· οἱ φύλακες πειρῶνται νῦν τὸν τοῦ ἀοιδοῦ ἴδιον ἰατρὸν εὑρεῖν, ὅμως δὲ ὁ Ἰάξων ἀεὶ ἐνόσει, τὴν γὰρ ἑαυτοῦ ἰδέαν μεταβαλεῖν ἐπειράσατο τῇ χειρουργικῇ τεχνῇ χρώμενος, καὶ δὴ καὶ τὸ τοῦ δέρματος χρῶμα μετεβάλετο.

**Ὁ τῆς Ἁμελίνος αὐλητὴς πάλιν ἥκει**

Πάντες οἱ ἄνθρωποι, παῖδές τε καὶ γέροντες, τοῦτον τὸν μῦθον τὸν περὶ τοῦ τῆς Ἁμελίνος αὐλητοῦ γιγνώσκουσιν· ὁ αὐλητής, τοὺς μύας οἳ εἰς τὴν πόλιν Ἁμελίνα εἰσεβεβλήκεσαν τῇ αὐλῇ γοητεύσας ἐκ τῆς πόλεως ἐξέλαβεν, τῶν δὲ πολιτῶν τὸν μισθὸν οὐκ ἀποτεισάντων ἑκατὸν καὶ τριάκοντα παῖδας λαβόμενος καὶ πρὸς τὸν πόταμον Βέσηρ ἐλάσας ἠφανίσατο, οὐδεὶς δὲ τοὺς παῖδας πάλιν εἶδεν· νῦν δὲ οἱ τῆς πόλεως Ἁμελίνος πολῖται περὶ τούτου μιμνησκόμενοι ἑπτακοσίους παῖδας ἐλῶσι ἐκ τῆς Ἁμελίνος εἰς τὴν Κοππενβρύγην (ἐκ γὰρ ταύτης τῆς ἄλλης πόλεως τοὺς παῖδας ἐξέλαβεν, οὐ δήπου ἐκ τῆς Ἁμελίνος)· ἐλπίζωμεν οὐδένα παῖδα ἀφανίσεσθαι νῦν.

**Τοὺς τὴν Πολιτκοβσκαίαν ἀποκτείναντας πάλιν δικάσουσιν**

Οἱ Ῥωσσικοὶ δικασταὶ βούλονται τοὺς τὴν ἐνδοξοτάτην δημοσιογραφίδα Ἄννα Πολιτκοβσκαίαν ἀποκτείναντας πάλιν δικάζειν, λέγουσι γὰρ ὅτι ἡ τότε δίκη οὐ κατὰ τοὺς νόμους ἐγένετο· ἐν ἐκείνῃ τῇ δίκῃ οἱ δικασταὶ τῶν φονέων οὐ κατέγνωσαν, λέγοντες ὅτι τεκμήρια οὐκ εἶχον. ὅμως δὲ τούτους τοὺς φονέας οὐδέποτε ηὗρον, πρὸ γὰρ τῆς δίκης ἀφανεῖς ἐγένοντο καὶ οὐδεὶς πάλιν αὐτοὺς εἶδεν. ὅμως δὲ λέγουσιν οἱ τῆς Α. Π. συγγενεῖς ὅτι οἱ ἐν τέλει ἀπ᾽ ἀληθείας τοὺς φονέας εὑρεῖν οὐ πειράσουσιν, ἡ γὰρ Α. Π. ἀεὶ τὸν Ποῦτιν ἐμέμφετο περὶ τοῦ ἐν τῇ Σεσενίᾳ πολέμου.